Lexikon Latinoellenikon.

ΛΕΞΙΚΟΝ

ΛΑΤΙΝΟΕΛΛΗΝΙΚΟΝ

ΤΟ ΜΕΝ ΠΡΩΤΟΝ ΣΥΝΤΑΧΘΕΝ ΚΑΙ ΕΚΔΟΘΕΝ

ΥΠΟ

ΤΟΥ ΕΚ ΒΡΕΜΗΣ ΤΗΣ ΓΕΡΜΑΝΙΑΣ

ΕΡΡΙΚΟΥ ΟΥΛΕΡΙΧΟΥ

ΕΙΤΑ ΔΕ ΤΟ ΔΕΥΤΕΡΟΝ ΤΡΙΤΟΝ ΚΑΙ ΤΕΤΑΡΤΟΝ ΕΠΕΞΕΡΓΑΣΘΕΝ ΚΑΙ ΠΛΟΥΤΙΣΘΕΝ ΛΕΞΕΣΙ ΚΑΙ ΣΗΜΑΙΝΟΜΕΝΟΙΣ

Steph. A. Koumanoudes

ΥΠΟ

ΣΤΕΦ. Α. ΚΟΥΜΑΝΟΥΔΗ

Ἀδριανοπολίτου.

ΝΥΝ ΔΕ ΤΟ ΠΕΜΠΤΟΝ ΕΠΕΞΕΡΓΑΣΘΕΝ ΚΑΙ ΠΛΟΥΤΙΣΘΕΝ ΛΕΞΕΣΙ ΚΑΙ ΣΗΜΑΙΝΟΜΕΝΟΙΣ

ΥΠΟ

Ι. ΠΡΩΤΟΔΙΚΟΥ ΚΑΙ Μ. Ι. ΒΙΑΓΚΙΝΗ.

Καθηγητῶν.

"ΒΙΒΛΙΟΠΩΛΕΙΟΝ ΤΩΝ ΒΙΒΛΙΟΦΙΛΩΝ"

ΧΑΡΑΛ. Ι. ΣΠΑΝΟΥ

23 ΙΠΠΟΚΡΑΤΟΥΣ 23

ΑΘΗΝΑΙ

Digitized by Google

Digitized by Google

ΠΡΟΟΙΜΙΟΝ

Τουτὶ τὸ βιβλίον εἰς φῶς ἐκδοῦναί με παρώρμησεν ἥ τε μεγάλη καὶ ποικίλη τῆς Λατίνης φωνῆς χρεία καὶ ἡ σπουδή, ἣν πολλὴν ἤδη περὶ τὰ Ῥωμαϊκὰ γράμματα, ἐξ ὅτου ἠρξάμην δημοσίᾳ διδάσκειν, ἡ Ἑλληνὶς νεολαία ποιεῖται. Καὶ δὴ ὡρῶν τούτους ἐν ἀπορίᾳ ἑρμηνείας ἐχομένους, πᾶσαν ἐπιμέλειαν, τό γε ἐπ' ἐμοί, ἐποιούμην, ὅπως τῇ ἀναγνώσει αὐτῶν καὶ μελέτῃ ἐπικουρήσαιμι, ἐπεὶ τὰ ὑπάρχοντα λεξικά, οἷα τὰ Ἑδερίκου, Ἐρνεστίου, Πιντζγήρου, Βεκκίου, καὶ τὰ τούτων ἔτι ἀρχαιότερα τῶν Ἰησουϊτῶν, καὶ ἐλλιπῆ ἐστι πάνυ καὶ δὴ καὶ μόνοις τοῖς τὴν Λατίνην γλῶσσαν ἐπισταμένοις χρήσιμα· οὐδεὶς γὰρ ἐν αὐτοῖς οὔτε προσῳδίας, οὔτε γραμματικῶν τύπων, οὔτε συντάξεως γίγνεται λόγος. Πρὸς δ' ἔτι τὰ μὲν κύρια ὀνόματα καὶ πλεῖστα τῶν ῥημάτων, οἷς οἱ δοκιμώτατοι τῶν συγγραφέων χρῶνται, πάμπαν παραλέλειπται, ἡ δὲ λοιπὴ διερμήνευσις πολλαχοῦ ἡμαρτημένη φαίνεται. Ταῦτα οὖν σκοπουμένῳ μοι ἀναγκαῖον ἐδόκει, ἀκριβεστέρῳ τινὶ καὶ πληρεστέρῳ πονήματι ἐπιχειρεῖν, ἐξ οὗ πλείω ἂν ὠφελοῖντο οἱ τὰ Λατινικὰ γράμματα μελετῶντες. Πρὸς δὲ τὴν ἑρμηνείαν τῶν τε ῥημάτων καὶ φράσεων τῇ ἀρχαίᾳ Ἑλληνικῇ διαλέκτῳ κέχρημαι, ἐπιτηδειοτάτῃ οὔσῃ διὰ τὴν τῆς Λατινικῆς συγγένειαν καὶ τὴν τῆς γραμματικῆς συντάξεως ὁμοιότητα, μάλιστα δὲ διὰ τὴν βραχυλογίαν καὶ σαφήνειαν. Οὐδεὶς δὲ φόβος, μή τινα δυσχρηστίαν ἡ ἀρχαία γλῶσσα τοῖς μελετῶσι παρέχῃ· δεῖ γὰρ τὸν Ἕλληνα ἐξ ἁπαλῶν ὀνύχων, εἴπερ τι ἄλλο, καὶ ταύτην ἐκμανθάνειν. Καὶ ταῦτα μὲν δὴ ταῦτα.

Εἰ μέντοι ἄξιόν τι ἐπαίνου τοῖς ἐμοῖς μόχθοις κατώρθωκα, οἱ σοφοὶ κρινόντων. Ἀλλὰ σύ, φίλη νεολαία, ἀνορθοῦν πειρῶ τὴν πατρίδα ταῖς ἀρεταῖς, αἷσπερ τὸ πάλαι πάντων τῶν ἐθνῶν εὐκλεεστέρα κατέστη, τὴν δὲ κακίαν φεῦγε, ὑφ' ἧς ὕστερον ταπεινωθεῖσα πολυχρονίῳ συμφορᾷ περιέπεσε. Κάλλιστον δ' ἐν ἀνθρώποις κτῆμα ἡγοῦ τὴν παιδείαν. Χαῖρε.

ΕΝΡΙΚΟΣ ΟΥΛΕΡΙΧΟΣ.

Καὶ ταῦτα μὲν ἑνδέκατον τοῦτ' ἔτος ἐξ οὗ ὁ μακαρίτης ἐν τῷ πανεπιστημίῳ προκάτοχός μου ἔγραφε, Γερμανὸς μὲν αὐτὸς τὸ γένος ὤν, βίβλον δὲ τοῖς ἡμετέροις νεανίσκοις εὐχρηστοτάτην πρὸς τὴν τῆς Λατινίδος ἐκμάθησιν δωροφορῶν, καθὰ δὴ καὶ ἕτεροι ἐν τῷ τότε χρόνῳ ἐκ

Digitized by Google

τῆς ἐπὶ σοφίᾳ περικλεοῦς τῶν Γερμανῶν χώρας εἰς τὴν ἡμεδαπὴν μετάραντες, εἰσηγηταὶ τῶν ἐν τοῖς πρώτοις, ὡς οὐκ ἔστιν ἀρνήσασθαι, παντοίων ἐν ἡμῖν παιδευμάτων ἐγίνοντο. Ἐφείσθω γάρ μοι, προοιμιαζομένῳ περὶ τῆς ἀνὰ χεῖρας ἐκδόσεως βιβλίου λυσιτελεστάτου τοῖς Ἕλλησιν ἀποδειχθέντος, τοῦτο πρῶτον εἰπεῖν, ὅ περ εὐγνώμων διάθεσις ἐγκελεύεται. Φημὶ δὴ τῶν ἀπὸ τῆς ἑσπερίας καὶ τῆς βορείου Εὐρώπης εὐεργεσιῶν πολλῶν πρὸς ἡμᾶς καὶ ποικίλων ἐν τῷ πρόσθεν χρόνῳ γενομένων, χρήμασί τε καὶ σώμασι καὶ παρασκευαῖς πολεμικαῖς, οὐκ ἐλάχιστον μέρος γεγονέναι αὐτὰς ταύτας τὰς μουσικὰς τιθηνήσεις, αἵπερ ἀγαπητικῶς πάνυ τοῖς ἀρτιγεννήτοις ἡμῖν ὑπὸ τῶν φιλελλήνων ἐκείνων ἀνδρῶν προσεφέροντο. Κἀκεῖνοι μὲν ταῦτα δρῶντες, τροφεῖά τε ἧς ἐκ τῶν ἀρχαίων ἡμῶν προγόνων παιδείας ἐκαρπώσαντο ἀπέτινον ἡμῖν τοῖς νῦν οὖσι, καὶ χάριτας εἰς τοὔπιδον κατετίθεντο βεβαίας, ὡς ἐδόκουν· ὧν οὐ χρὴ ἀμνημονεῖν, ἀλλ' ἀμφοτέρους ἐν τῷ παρόντι χρόνῳ, τὴν πρὸς ἀλλήλους εὔνοιαν, ὑπομαραινομένην, ὡς μήποτ' ὤφελε, πειρατέον σώζειν οἱανοῦν καὶ ὁσηνοῦν, μηδὲ περιϊδεῖν τελέως ἐξαφανισθεῖσαν. Εἰ γάρ πως καὶ παραχορδότερα φαίνεται τἀκεῖθεν νῦν προσπίπτοντα, μάλιστα μὲν διὰ τὴν τῶν καιρῶν καὶ τῶν πραγμάτων μεγάλην δυσχέρειαν, εἶτα δὲ καὶ διὰ τὴν οὐκ οἶδ' ὅπως ἐνσκήψασάν τισι τῶν πολιτευομένων σύγχυσιν τῶν τοῦ καλοῦ καὶ τοῦ ἀγαθοῦ ἐννοιῶν, ἀλλ' οὖν οὐχ οὕτως τι ἀνήκεστον συμβέβηκέ πω ὥστε τὸ ἤδη ἀπαλλοτριοῦσθαι ἡμᾶς ἀμοιβαίως εὔβουλον κρίνεσθαι, δριμύτερον μὲν τοῦ δέοντος ἀλλήλοις ἐγκαλοῦντας, μηδεμίαν δὲ τοῦ ἀφανοῦς μέλλοντος πρόνοιαν ποιουμένους. Τοῦ γοῦν ἀρχαίου ἐκείνου γνωματεύματος τό γε ἕτερον μέρος «μίσει ὡς φιλήσων» οὐκ οἶδ' εἴ τινι ἑτέρῳ χρόνῳ ἢ τῷ νῦν προσφυέστερον εἴρηται. Ἔστι δὲ πάντως ἐλπίζειν, ὅτι καὶ αἴθρην ποτὲ ποιήσει ὁ Ζεύς, ὥστ' ἐν φάει τοὺς Ἕλληνας ἀναστρεφομένους τόν τε φίλον καὶ τὸν ἐχθρὸν ἀριδήλως διαγιγνώσκειν καί, εἰ μηδὲν ἄλλο, ἀλλὰ τοῦτό γε κερδᾶναι, τὸ μὴ πάνυ τι μεταμέλεσθαι ἐπὶ τῷ ἐπιεικεστέραις γνώμαις προστεθῆσθαι καὶ μετριωτέρᾳ τῇ γλώσσῃ κεχρῆσθαι ἔν γε τοῖς παροῦσι καιροῖς. Ταῦτά μοι ὑπέβαλεν εἰπεῖν τό τε τῶν ἐνεστώτων πραγμάτων ἐν τῇ Ἑῴᾳ ἀκροσφαλὲς καὶ προσέτι τὰ πρώην ἐν τῇ ἡμετέρᾳ πόλει παρένθυρσά τινων ἀπὸ βημάτων σεμνοτάτων κηρύγματα, οἷς ἐγὼ εὖ εἰδὼς ὡς οἱ εὖ φρονοῦντες τῶν ἡμετέρων ἀπεχθάνονται, εἴρηκα ταῦτα, πορρωτέρω μὲν τοῦ τῆς φιλολογίας χώρου ἐξῳκίσθαι δοκοῦντα, οὐ μέντοι καὶ πάντῃ ἀλλότρια, εἴπερ γε λόγοις καὶ ἐνθυμήμασι πρὸς τὰς τοῦ βίου πράξεις ῥυθμίζεσθαι πεφύκαμεν οἱ ἄνθρωποι. Πλείονα δ' ἂν εἶπον περὶ

Digitized by Google

τούτων, εἴ μοι τὸ σεμνὸν τῆς ἡλικίας καὶ τὸ δοκεῖν τι πεπραγέναι ὑπὲρ τοῦ ἔθνους ἐς τόδε τοῦ χρόνου προσῆν· ἀλλ᾽ οὐ γὰρ πρόσεστί μοι ταῦτα.

Νῦν δὲ τοῖς ἐντευξομένοις καὶ χρησομένοις τῇ βίβλῳ λόγον εἶμι ἀποδώσων, ὧν ἐν τῇ αὐτῆς ἐξεργασίᾳ ἐνεωτέρισα, ἀξιώσαντος γενέσθαι τὴν ἔκδοσιν τοῦ τιμιωτάτου ἐν βιβλιοπώλαις Κωνσταντίνου Ἀντωνιάδου τοῦ Κρητός. Οὗτος γὰρ εἰς τὴν παντελῆ τῆς πρώτης ἐκδόσεως ἐπίλειψιν ἀπιδὼν καὶ τοῖς μαθητιῶσι τῶν Ἑλλήνων ἐπικουρῆσαι βουλόμενος, προσηγάγετό με οὐχ ὅλως ἀπαράσκευον καὐτὸν ὄντα καὶ τοὖργον τῆς ἐκδόσεως ἐπέτρεψέ μοι ἐφ᾽ οἷς ὅροις ἡ ὑπ᾽ αὐτοῦ τῇ κέ. Μαρτίου τοῦ ͵αωνβ΄. ἔτους δημοσιευθεῖσα ἀγγελία διέλαβε, ἧς μνημονεύειν χρεὼν τοὺς δικαίως ἅμα καὶ ἐπιεικῶς κρῖναι τὸ παρὸν βουλομένους ἔργον. Φέρε οὖν εἴπωμεν, εἴ τι κατὰ τὰ ὑπεσχημένα ἐξετελέσθη.

Καὶ ἡ μὲν οἰκονομία τοῦ Οὐλεριχείου λεξικοῦ, ἅτε καλῶς ἔχειν δόξασα, τετήρηταί μοι ἐν τοῖς καθ᾽ ὅλου ἀπαραποίητος. Τῆς γὰρ πρώτης ἕνεκα χρήσεως, ὡς φαμέν, συνετάχθη δήπου τὸ βιβλίον ὑπὸ τοῦ πρώτως αὐτὸ συντάξαντος· δι᾽ ὃ καὶ ἀπήλλακτο μὲν τῆς περιττοτέρας φιλολογικῆς λέσχης, ὀνομάτων φημὶ τῶν συγγραφέων ὑφ᾽ ἑκάστῃ τῶν λέξεων καὶ φράσεων καὶ τῶν εἰς αὐτοὺς παραπομπῶν καὶ παρασημειώσεως ἀμφιβόλων σημαινομένων καὶ τῶν τοιούτων, οὐδενὸς δὲ τῶν ἀναγκαιοτάτων ἐστέρητο, οἷον προσῳδίας, ἐτυμολογίας, ἑρμηνείας, συντόμου μέν, αὐτάρκους δέ, κατὰ διαστολὴν τῆς τε χρήσεως καὶ συντάξεως ἑκάστου τῶν ὀνομάτων. Τοῦτον οὖν τὸν χαρακτῆρα τῇ βίβλῳ ἔδοξε διασώζειν ἐν τοῖς καθ᾽ ὅλου, ὅπως καὶ τῷ εὐώνῳ τῆς τιμῆς προσιτωτέρα διατελοίη τοῖς ἀπορωτέροις. Οὐ μὴν ἀλλ᾽ ἐλείπετό τινα, ἅπερ εἰ προσετίθετο οἰκονομικῷ τινι τῆς τυπογραφικῆς τέχνης τρόπῳ, οὕτως ὥστε τὸν ἀριθμὸν τῶν τῆς βίβλου φύλλων διαμεῖναι περίπου τὸν αὐτόν, τελειότερον ἂν τὸ αὐτῆς σχεδίασμα ἀπειργάσατο καὶ λυσιτελέστερον τοῖς χρωμένοις· οὐ ἐμέλησεν ἐμοί. Καὶ πρῶτον μὲν ταῦτα διασκοποῦντί μοι καὶ ἐπὶ τοὖργον τῆς διασκευῆς τετραμμένῳ, πολλαὶ τῶν Λατινικῶν λέξεων οὐχ εὑρίσκοντο ἐν τῇ παλαιᾷ ἐκδόσει, οὐ διά τιν᾽ ἄλλην αἰτίαν ἀπεωσμέναι δῆλα δή, ἢ διὰ τὸ κεῖσθαι ἐν ἐκείνοις μάλιστα τῶν μετὰ Χριστὸν συγγραφέων, οὕς περ ἐν ταῖς σχολαῖς. ἅτε τῇ τοῦ λόγου ἀρετῇ ἀπολειπομένους τῶν δοκιμωτάτων, οὐ δι᾽ ἔθους ἐστὶν ἑρμηνεύειν. Ἀπῆσαν δὲ καὶ πᾶσαι μονονοὺ αἱ ἐκ τῶν ἐπιγραφῶν ἐγνωσμέναι λέξεις, πολλῶν ὁμοίως λεξικογράφων ἀπεσχημένων τούτων, οὐκ οἶδ᾽ ἀνθ᾽ ὅτου· ἡ γὰρ αὐτῶν γνῶσις ὅσον εἰς τὴν τοῦ ὅλου τῶν ἀρχαίων βίου κατανόησιν συμβάλλεται, οὐδεὶς ὅστις οὐχ ὁμολογεῖ. Ὅπως τοίνυν ἡ βίβλος

Digitized by Google

μὴ κατὰ τοῦτο χωλαίνῃ καὶ χρησιμωτέρα γένηται μὴ μόνον τοῖς ἐν τοῖς σχολείοις καὶ γυμνασίοις φοιτῶσιν, ἀλλὰ καὶ τοῖς ἐν τῷ πανεπιστημίῳ καὶ ἄλλως ἐν ἰδίᾳ μελέτῃ πάντα τἀρχαῖα τῆς Ῥώμης αναλεγομένοις συγγράμματα, προστεθῆναι ἔδοξε τὰ ἐλλείποντα καὶ τῆς προσηκούσης τυχεῖν ἑρμηνείας, τοῦθ' ὅπερ ἐποίησα, προστησάμενος ἐμαυτῷ ὁδηγοὺς δύο τῶν δοκιμωτέρων παρὰ Γερμανοῖς λεξικογράφων, τόν τε Freund, οὗ διεξοδικὸν τῆς Λατινικῆς γλώσσης λεξικὸν φέρεται, τέσσαρσι τόμοις περιειλημμένον καὶ ἐν Λειψίᾳ τῆς Σαξονίας ἀπὸ τοῦ ͵αωλδ' ἕως τοῦ ͵αωμέ ἔτους ἐκδοθέν, καὶ τὸν Georges, οὗ τὸ λεξικόν, ἐπιτομώτερον ὄν, ἐν δυσὶ τόμοις ἐξεδόθη τῷ ͵αωμγ'. ἔτει τὸ ἔννατον ἐν τῇ αὐτῇ πόλει. Ἐκ τούτων τοίνυν τῶν βιβλίων τρεῖς περίπου λέξεων χιλιάδες εἰσεφορήθησάν μοι εἰς τὴν νέαν ταύτην ἔκδοσιν, ὧν αἱ πλεῖσται μὲν ἐν ἐκκλησιαστικοῖς καὶ νομικοῖς συγγράμμασιν εὕρηνται, πολλαὶ δὲ καὶ ἐν ἐπιγραφαῖς, τινὲς δ' ἀμέλει καὶ παρὰ τοῖς δοκίμοις τῶν τοῦ χρυσοῦ καὶ ἀργύρου ἐπιλεγομένων αἰώνων συγγραφεῦσι.

Μετὰ τοῦτο τοῖς ἐτύμοις προσέσχον τὸν νοῦν, προσθεὶς ταῦτα ἔνθα παρελέλειπτο· πολλαὶ δ' ἦσαν αἱ ἀνετυμολόγητοι μείνασαι λέξεις. Οὐδεὶς δ' οἶμαι τοῦτο τοῦ ἔργου τὸ μέρος περιττὸν ἡγήσεται, ἐνθυμηθείς, ὅτι τοῖς Ἕλλησι μάλιστα ἡ τοιαύτη περιεργία οἰκεία συμβαίνει εἶναι, ἀσμένως, ὡς ἐγὼ πέπεικα ἐμαυτόν, καταμανθάνουσι παρ' ἕκαστον τῶν ὀνομάτων τὴν πολλὴν ἑκατέρων τῶν γλωσσῶν ὁμοιότητα καὶ συγγένειαν, κἀκ τούτου προθυμουμένοις ἐξακριβοῦν μᾶλλον τὰ κατ' αὐτάς. Οὐ μὴν ἀλλ' ἐδόκει μοι, στοχαζομένῳ τοῦ μετρίου καὶ τῆς συντομίας, μὴ πάνθ' ἑξῆς τὰ ἔτυμα ἀναγράφειν, ἀλλ' ὅσ' ἄν, βέβαια ἢ πιθανώτατα ὄντα, πρὸς τούτῳ ἔχοιεν καὶ τὸ βραχέως ἂν δηλωθῆναι. Τὰ τοίνυν μακροτέρας χρήζοντα ἀποδείξεως ἢ ἑρμηνείας, τοῖς διεξοδικωτέροις τῶν λεξικῶν ἀποκριτέα ἡγησάμενος, ὅλως παρέλειψα. Ἰστέον δέ, ὅτι ἔνθα ἀραιοῖς γράμμασι λέξις Ἑλληνικὴ ἐν τῇ ἑρμηνείᾳ τετύπωται, τοῦτο τὴν μετὰ τῆς Λατινικῆς λέξεως ἐτυμολογικὴν συγγένειαν ἢ καὶ ταὐτότητα σημαίνειν βούλεται. Πλειστάκις δὲ τοῦτ' ἐπετηδευσάμην, οἰκονομίας χάριν τυπογραφικῆς, ἵνα δὴ μὴ δὶς ταὐτὸ ὄνομα ἐκτυπούμενον, καὶ τοῦ ἐτύμου δηλαδὴ καὶ τῆς ἑρμηνείας ἕνεκα, τὸν τόπον καταργοίη.

Καὶ τὰ τῆς ἑρμηνείας δὲ οὐ παρεώραταί μοι, εἴ τι ἀναγκαῖον ὂν σημαινόμενον παρελείφθη, ἤ τις συντάξεως τρόπος εὐχρηστῶν ἐσιγήθη, ἅ περ προσέθηκα, ὡς εἰκός, παρασημειώσας πολλάκις καὶ τὸ σπανίως τινὰ λέγεσθαι καὶ τὸ παρὰ ποιηταῖς μόνον εἰθίσθαι καὶ τὰ τοιαῦτα. Ἐν οὐκ ὀλίγαις δὲ τῶν λέξεων καὶ φράσεων τὸ ἄγαν ἐντεταμένον καὶ

Digitized by Google

βραχὺ τῆς ἑρμηνείας μικρὸν χαλάσας, καὶ παραδείγματα εἰς σαφήνειαν
τελοῦντα κἀκ τῆς ὁμιλουμένης φωνῆς ἐν παρενθέσει ἐπεισαγαγών, οὐκ
ἀπεικός τι δρᾶσαι νομίζω, ἀλλὰ καὶ πολλοῖς ἀρεστόν. Ὁ δ' αὐτὸς λό-
γος ἔστω μοι καὶ περὶ τῶν εἰς Ἕλληνάς τε καὶ Ῥωμαίους παραπομπῶν,
αἷς ἐχρησάμην εἰς πίστην τῆς ἑρμηνείας, ἔνθα τούτου χρεία τις ὑπε-
φαίνετο. Σποράδην δὲ καὶ τῆς ποιητικῆς παρ' Ἕλλησι χρήσεως ἐμνή-
σθην· τὸ μὲν γὰρ ὅλον ἀρχῆθεν ἡ βίβλος τῆς ἐν τῷ πεζῷ λόγῳ ἑρμη-
νείας στοχάζεται, ἥ περ δὴ καὶ ἐπικρατεστέρα ἐν τῇ τῶν γλωσσῶν
ἐκμαθήσει. Πρὸς δὲ τούτοις, εἰς ἐπικουρίαν τινὰ τῆς μονολεκτικῆς ἔν
τισι τῶν λέξεων ἑρμηνείας, προστέθειταί μοι πλεονάκις ἡ παρ' Οὐλε-
ρίχῳ τὰ λεξίδια λίθος, ζῶον, φυτόν, ὄργανον κ.τ.τ. ὅπερ μικρὸν μὲν
ἂν δόξειεν ἴσως, ἀλλ' οὐ πάσης γε, οἶμαι, ὠφελείας ἄμοιρον ἐν ἐπιτόμῳ
λεξικῷ γινόμενον καὶ χερσὶ φερομένῳ πρωτοπείρων, οὓς καὶ μάλα ἀπο-
ρεῖσθαι ἐνίοτε εἰκός ἐστιν, ὅταν αὐτοῖς τὰ βραχέα μεταφράσματα μικροῦ
δεῖν ἴσα τοῖς ἀγνώστοις Λατινικοῖς ξενηκούστως προσπίπτῃ· ἢ τί γὰρ
πλέον ἔσται τῷ μαθητῇ μαθόντι, ὅτι ὁ varus ἴονθός ἐστιν, ἢ ὅτι ἡ
securidaca πελεκῖνος; Τοιαῦτα μέντοι τὰ πολλὰ τῶν προσειληφό-
των τὰς εἰρημένας ἐπισημειώσεις ὑπό τε τοῦ πρώτου συντάκτου καὶ
μᾶλλον ὑπ' ἐμοῦ. Οὐ σμικρὰ δέ μοι ἐπικουρία προσεγένετο, ἤδη τὰ ἀπὸ
τῶν μέσων τοῦ στοιχείου S διασκευάζοντι. Ἀνὴρ γὰρ ἑταῖρος τῶν
καλῶν κἀγαθῶν Σπυρίδων ὁ Φιντικλῆς, ἐπιχαρίτως μάλα παρέσχε μοι
χρήσασθαι ταῖς αὐτοῦ περισελιδίοις εἰς τὸ Οὐλερίχου λεξικὸν σημειώ-
σεσιν, ὧν ἐγὼ πολλά, μάλιστα δὲ φρασεολογικὰ ἀπωνάμην, καὶ ἄσμενος
τοῦτο μαρτυρῶ, ἐπὶ τούτῳ μόνον ἀθυμῶν, ὅτι οὐ πρότερον ἐξεγένετό
μοι τῆς αὐτοῦ περὶ τοῦτο προθυμίας ἔννοιαν λαβεῖν καὶ ἀποχρήσασθαι
αὐτῇ ἐπὶ πλέον.

Ταῦτα τοίνυν διασκοπησάμενος καί, ὡς εἶχον δυνάμεως, συμπληρώ-
σας, τὸ ἀπὸ τοῦδε διὰ φροντίδος ἔσχον, καὶ εἴπου τι οὐκ ὀρθῶς ἔχον
παρεισέδυ, τοῦτο ἐκβαλεῖν ἢ ματαποιῆσαι. Ἐμοὶ γοῦν καὶ πάνυ βραχέα
τὰ διορθώσεως χρῄζοντα ἐφάνη ἔν γε τῷ πραγματικῷ μέρει, μικρῷ δὲ
πλείονα τὰ περὶ τὸν Ἕλληνα λόγον ἡμαρτημένα· καὶ οὐδὲν θαῦμα,
παραῤῥυῆναί τινας κῆρας τῇ ἄλλως ἀκριβεῖ λέξει τοῦ Οὐλερίχου, ἐπι-
σκοτιζομένου ἔστιν ὅπου τῇ χρήσει εἴτ' αὐτῆς τῆς μεταφερομένης Λα-
τινίδος, εἴτ' οὖν τῆς αὐτὸν νοερῶς ἀγούσης πατρίου φωνῆς, ὧν ἀμφο-
τέρων τὸ περὶ τοὺς χρόνους μάλιστα τῶν ῥημάτων ἀτελὲς παρὰ πᾶσι
γνωρίζεται. Οὐ λέγω δέ, ὡς οὐ τάχα καὶ ἕτερός τις αὖ ἐμὲ διορθώσε-
ται, ὥσπερ ἐγὼ τὸν Οὐλερῖχον· τὸ γὰρ ἔργον ὡμολόγηται δυσχερές,

Digitized by Google

καθαρεῦσαι ἐν γλώσσῃ πάλαι ποτ' ἀκμασάσῃ καὶ περιέργως ἐξειργασμένῃ ἐπὶ τὸ ἀκριβέστατον. Ἄλλως δὲ ῥᾷον τὸ διορθοῦν ἢ τὸ κατορθοῦν κἂν τοῖς τοιούτοις κἂν τοῖς ἄλλοις ἅπασιν.

Ἐπιμελείας δ' ἐφαίνετό μοι δεῖσθαι καὶ τὸ τῶν κυρίων ὀνομάτων, οὐ τῆς τυχούσης. Ἐτύγχανον μὲν γὰρ ὄντως ἐν τῇ πρώτῃ ἐκδόσει καὶ τῶν Ῥωμαϊκῶν καὶ τῶν ἄλλων βαρβαρικῶν συχνὰ κατατεταγμένα σὺν τῇ Ἑλληνικῇ αὐτῶν γραφῇ, ὡς οἱ ἀρχαῖοι παρέδωκαν, ἀλλὰ καὶ πολλῷ πλείονα ἀπῆν. Ταύτῃ οὖν τῇ ἐλλείψει ἐπικουρῆσαι ὥρμησα, ᾔδειν γὰρ ὅσα πράγματα τοῖς πρωτοπείροις παρέχει τὸ κεφάλαιον τοῦτο, ἀδυνατοῦσι μὲν ἐξ ἀναλογίας τῶν ἐγνωσμένων τὰ ὑπαντῶντα τῇ ἀναγνώσει ἄγνωστα ἐξελληνίζειν, οὐ σχολάζουσι δὲ πάνυ, ὥσθ' ἑκάστοτε ἀνατρέχειν ἐπι τοὺς Ἕλληνας συγγραφεῖς, τοὺς τὰ Ῥωμαϊκὰ πραγματευσάμενος, ἔνθα τὰ πολλὰ αὐτῶν ἔστιν εὑρεῖν. Καὶ ὥρμησα μέν, ὡς ἔφην, γενναιότερόν τι, ἐκ πρώτης ἀφετηρίας διανοηθεὶς καὶ ἐλπίσας πάντ' ἂν δυνηθῆναι τὰ τοιαῦτα τύπῳ ἑνὶ περιλαβεῖν τά τ' ἐξελληνισμένα καὶ τὰ τέως ἀνεξελλήνιστα καὶ οὕτως ἐν ἰδίῳ ἀλφαβήτῳ ἑξῆς κατατάξαι. Ὡς δέ, πολλῶν ἀντιξοούντων, οὐ προὐχώρει τὸ ἔργον, τὸ μὲν πάντα ζητεῖν ὑφ' ἕνα ἀγαγεῖν τύπον ἀφῆκα, πλεῖστα δ' ὅσα συλλέξας ἐκ τῶν ἀρχαίων Ἑλλήνων, κατεχώρισα ἐν ἑκάστῳ τῶν στοιχείων ἀναμὶξ ταῖς λοιπαῖς λέξεσιν, ὡς καὶ πρότερον ἔκειτο, τοσοῦτο μόνον προσνεωτερίσας ἔν τισι, τὸ πλείονας γραφὰς Ἑλληνικὰς τοῦ αὐτοῦ ὀνόματος παρεισαγαγεῖν καί, ἔνθα μὲν ἐχώρει, προσθεῖναι καὶ τὰ συγγραφέων ὀνόματα, καθ' οὓς οὕτως ἢ ἄλλως γράφεται, ἔνθα δὲ τοῦτο μακρότερον ἀπῆγεν, ἢ ὅλως οὐκ ἦν δρᾶσαι, ἀλλ' ἐξ ἀναλογίας ἔδει μεταφράζειν, τὸ ἐν παρενθέσει αὐτὰ ἐκτυποῦν κράτιστον ἔδοξέ μοι εἶναι, καθ' ἃ τοῦτο ἐνιαχοῦ καὶ τῷ Οὐλερίχῳ ἐπιτετήδευται. Οὕτω δὲ πλουσιωτέρα μὲν ἡ παροῦσα ἔκδοσις τῆς προτέρας καὶ κατὰ τοῦτο τὸ μέρος πρόεισι, οὐ μὴν δ' οὕτω πλήρης, ὡς διενοούμην τὴν ἀρχήν. Ἐλπίζω δὲ οὐ διαλήσειν τοὺς περὶ τοῦτο τὸ κεφάλαιον ἐσχολακότας, ὡς πάνυ σμικρὰ ἐς τόδε τοῦ χρόνου τὰ παρὰ τῶν τῆς Εὐρώπης φιλολόγων ἐπικουρήματα. Τοιγάρ τοι καὶ τὸ τοῦ Pauly τῆς τῶν Ἑλλήνων καὶ Ῥωμαίων ἀρχαιομαθείας λεξικὸν ὑπ' ὄψιν ἔχων, τὸ ἐν Στουτταγαρδίῳ τυπωθὲν ἐν τοῖς ἔτεσι ͵αωλθ'—͵αωνά, ὡσαύτως δὲ καὶ τῷ τοῦ Pape λεξικῷ τῶν κυρίων ὀνομάτων χρώμενος τῷ ἐν ἔτει ͵αωμϐ' ἐν Βρουνσβίγῳ τυπωθέντι, (*) οὐκ ἴσχυσα ὅμως ἀνῦσαί τι ἀξιόλογον καὶ κατὰ τὴν ἐμὴν μάλιστα ἔφεσιν. Πάντως

(*) Ἀρτίως εἶδον καὶ δευτέραν ἔκδοσιν τοῦ ͵αων' ἔτους.

Digitized by Google

δ' ἐπείσθην, τὸ ἔργον μεῖζον εἶναι τό γε νῦν ἢ καθ' ἕνα ἄνδρα καὶ πολλῷ πλείονος τοῦ ἐμοὶ ἐπιμεμετρημένου χρόνου δεῖσθαι. Ἀτυχήσας δ' οὖν τοῦ σκοποῦ, τῆς πλήρους φημὶ καὶ ὀρθῆς ἐξελληνίσεως τῶν τε Ῥωμαϊκῶν καὶ τῶν ἄλλων βαρβαρικῶν ὀνομάτων, τῶν ἐν τοῖς Ῥωμαϊκοῖς συγγράμμασιν ἀπαντώντων, ἄλλην τινὰ οἷον δωτίνην ἐνεθυμήθην τῷ λεξικῷ τούτῳ προσθεῖναι, ἣν ἡ ἀγγελία οὐ προεδεδηλώκει. Τὰ γὰρ νεώτερα τῶν γεωγραφικῶν ὀνομάτων πολλοῖς τῶν παλαιῶν προσέθηκα, ὅσα δηλαδὴ παρέφθαρτο ἢ πλεῖον ἢ ἔλαττον, οὐκ ἄχρηστον τοῦθ' ὅλως ὑπολαβών. Εἰ δὲ μὴ ἐν πᾶσι τοῦτο ἐποίησα, αἴτιον ἦν τὸ ἀμφισβήτησιν ὑπάρχειν περὶ τῆς θέσεως, ἢ τὸ ὅλως μετηλλαχέναι τὴν κλῆσιν καὶ τῆς παλαιᾶς μηδὲ ἓν στοιχεῖον διασώζειν, ἢ τέλος τὸ κατὰ ταὐτὰ νῦν τε καὶ πάλαι γράφεσθαι καὶ προφέρεσθαι τοὔνομα.

Νῦν δέ με ὁ λόγος ἄγει ἐπὶ τὰς διασκευὰς ἐκείνας, αἷς ἐπεβαλόμην ἐν τῇδε τῇ ἐκδόσει ἀτεχνῶς παρὰ τὰ νενομισμένα ἐν τοῖς ἐπιτόμοις τῶν λεξικῶν· δεῖ γὰρ τοῦτο ὁμολογεῖν· δι' ἣν δ' αἰτίαν τοῦτ' ἐτόλμησα, αὐτίκα, ἐρῶ. Εἰσὶ μὲν οὖν αὗται αἱ διὰ πάσης τῆς βίβλου διήκουσαι διασκευαὶ αἱ ἑξῆς· ά. αἱ ἅπαξ εἰρημέναι λέξεις ἤτοι τὰ ἅπαξ λεγόμενα (ὧν ὁ ἀριθμὸς λεγεών·) ἀστερίσκῳ διεκρίθησαν τῶν λοιπῶν. β'. ταῖς σπανίαις ἢ μᾶλλον σπανιωτάταις τῶν λέξεων σημείωσις προσετέθη τοῦτ' αὐτὸ δηλοῦσα, ὅτι σπανιώταται. γ'. τὰ ὀλιγόπτωτα ἢ μονόπτωτα τῶν ὀνομάτων (ἔστι δὲ πολλὰ τοιαῦτα)· σημείωσιν καὶ ταῦτα προσεδέξαντο τοῦτ' αὐτὸ δηλοῦσαν. δ'. ὅσαι ἴδιαι ἑνός τινος τῶν συγγραφέων εὕρηνται οὖσαι λέξεις, ἐν χρήσει δὲ παρ' αὐτῷ εἴτε πλεονάκις εἴτε ὀλιγάκις, ταύταις τοὔνομα τοῦ συγγραφέως ὑποσεσημείωται. έ. αἱ τοῦ μεταγενεστέρου Λατινισμοῦ ἤτοι αἱ ἀπὸ τοῦ δ'. μ. Χ. αἰῶνος καὶ ἑξῆς ἀναφανεῖσαι λέξεις δεδήλωνται πανταχοῦ τοιαῦται οὖσαι. ϛ'. αἱ παρὰ μόνοις τοῖς ἐκκλησιαστικοῖς πατράσιν ἢ καὶ ἐν ταῖς ἱεραῖς γραφαῖς, μάλιστα δ' ἐν τῇ λεγομένῃ Κοινῇ (Vulgata) μεταφράσει τῆς Παλαιᾶς ἀναγινωσκόμεναι, ἑνὶ λόγῳ αἱ ἐκκλησιαστικαὶ λέξεις, σταυριδίῳ σημειωθεῖσαι τὴν οἰκείαν καταγωγὴν σημείῳ αὐταῖς ἐμπρέποντι διεδήλωσαν. Ταῦτα πάντα ἐκ τοῦ λεξικοῦ τοῦ Freund μετενήνεκται, ἔνθα ἐγὼ τὴν διάκρισιν ταύτην τῶν λέξεων ἰδών, ἠγάσθην τε λίαν, καὶ περὶ τοῦ ὠφελίμου αὐτῆς ἰσχυρῶς ἐπείσθην ἅμα τῷ ἀναγνῶναι τὰ τοῦ σοφοῦ ἐκείνου ἀνδρὸς προλεγόμενα· καί μοι ἐφεξῆς οὐδὲν ἦν προὐργιαίτερον τοῦ τὸν τρόπον ἐκεῖνον εἴς τι τῶν παρ' ἡμῖν ἐν χρήσει λεξικῶν μετενεγκεῖν, ᾧ δὴ καὶ ἐπεχείρησα ἐν τῇδε τῇ ἐκδόσει, ἄλλως τοῦ πράγματος, σὺν μέτρῳ τινὶ τελουμένου, οὐδὲ πολὺν τὸν χῶρον δοκοῦντος

Digitized by Google

καταλήψεσθαι. Ῥάδιον δὲ πεισθῆναι, ὡς ἐγῷμαι, καὶ πάντα τινά, ὅ τι πολὺ τὸ χρήσιμον ἐν τῇ μεθόδῳ ταύτῃ, τῇδε σκεπτόμενον· ὅσα τῶν λεξικῶν πολλὰ συγγραφέων καὶ ποικίλα ὀνόματα ταῖς λέξεσι προσεπιφορεῖ, οὐδὲν δήπου ἀκριβὲς ἢ βέβαιον δίδαγμα παρέχεται, τοῦτο ποιοῦντα. Πῶς γὰρ ἂν εἰδείη ὁ τούτοις ἐμμελετῶν, εἰ παρὰ μόνοις δὴ τοῖς ἐγγεγραμμένοις συγγραφεῦσι καὶ μὴ καὶ παρ' ἄλλοις ἡ λέξις τυγχάνει οὖσα ἐν χρήσει; ἔχει γὰρ ὑποθέσθαι, ὡς ὁ λεξικογράφος ἀρκεσθεὶς τισι τῶν ὀνομάτων, τὰ λοιπὰ χαίρειν εἴασεν· ὅπου δ', ὡς παρὰ τῷ Freund, ὑπόθεσις τοιαύτη οὐχ ἐγχωρεῖ, ἐπιτηδευσαμένου τοῦ λεξικογράφου ἀφελεῖν τὸ ἀμφίβολον ἐπιπονωτάτῃ ὄντως ζητήσει καὶ ἐργασίᾳ, ἐκεῖ δίδαγμ' ἀσφαλὲς προσγίγνεται τῷ φιλομαθεῖ, ανασκοπουμένῳ ἐκ τούτου πολλὰ καὶ ποικίλα, τήν τε φύσιν δῆλα δὴ τῆς λέξεως καὶ τοὺς χρόνους καθ' οὓς εὐημέρησε, καὶ μὴν καὶ τοὺς τύπους, οἷς ἔχαιρόν τινες τῶν συγγραφέων ἰδιορρύθμως διανοούμενοί τε καὶ γράφοντες καὶ ἕτερα τοιαῦτα· ἁπλῶς τ' εἰπεῖν ἱστορίαν τινὰ τῆς γλώσσης ὅλης καὶ τῶν ἐννοιῶν αὐτῆς συγκροτῆσαι ἄλλως μὲν οὐκ εὐχερές, ταύτῃ δὲ χρώμενον τῇ μεθόδῳ, ἥτις γεννητικὴ καὶ ἱστορικὴ ἅμα ἤκουσε, καὶ μάλα δυνατόν. Ταῦτα μέν τοι τὰ πλεονεκτήματα οὐκ ἂν εἴποιμι, ὡς πάντα τῇ ἡμετέρᾳ πρόσεστι βίβλῳ· οὐ γὰρ ἐνεχώρει ἀθρόαν τὴν μέθοδον μετενεγκεῖν ἐξ οὕτω παχείας βίβλου εἰς οὕτως ἰσχνήν. Πολλὰ μὲν οὖν παραλέλειπταί μοι ἐξ ἀνάγκης, οἷον τὸ σημειοῦν, ὅτι ἡ λέξις δεῖνα ἐν τοῖς πρὸ τῶν κλασικῶν λεγομένων χρόνοις ἀκμάσασα, κᾆτα ἐκλιποῦσα, πάλιν αὖ ἐν τοῖς μεταγενεστάτοις χρόνοις ἀναδῦσα εὐημέρησε καὶ ἕτερα τοιαῦτα. Ἀλλὰ καὶ οὕτω μετενεχθεῖσαν τὴν μέθοδον, ἀτελῶς δηλονότι, οὐκ ἀσυντελῆ ἡγοῦμαι ἔσεσθαι καὶ πρὸς μελέτας ἐμβριθεστέρας καθόλου εἰπεῖν καὶ δὴ καὶ πρὸς θεματογραφίαν ἀσφαλεστέραν, ὃ πρὸς τῶν νεανίσκων μάλιστ' ἂν εἴη, τῶν περὶ ταύτην πονούντων. Ὅταν γάρ τις τούτων, φέρ' εἰπεῖν ἐν Ἑλληνολατινικῷ λεξικῷ διττὴν ἢ τριττὴν ἀνευρὼν Λατινικὴν ἑρμηνείαν Ἑλληνικῆς λέξεως, μὴ εὐθὺς ταύτην ἢ ἐκείνην ἀταλαιπωρήτως εἰς τὴν τοῦ θέματος λάβῃ κατασκευήν, ἀλλ' ἀναδραμὼν εἰς τὸ ἡμέτερον τουτὶ λεξικόν, προσεπιγνῷ αὐτὴν κάλλιον, οἵα τις οὖσα τυγχάνει, ἔσται δήπου τότ' αὐτῷ ὀρθοεπεῖν μᾶλλον ἢ πρότερον, φεύγοντι μὲν τὰς ἅπαξ εἰρημένας (καί περ ἄλλως καλάς, ἀλλ' ἀήθεις·) ὡσαύτως δὲ καὶ τὰς τοῦ μεταγενεστέρου Λατινισμοῦ (ἔνθα μὴ πᾶσα ἀνάγκη·) χρωμένῳ δὲ θαῤῥαλεώτερον ταῖς λοιπαῖς, ἀσήμοις μὲν ἐν τῷδε τῷ λεξικῷ διατελούσαις, εὐσήμοις δ' ἄλλως ὡς τὰ πολλὰ καὶ δοκίμοις τὰ μάλιστα.

Digitized by Google

Καὶ ταῦτα μὲν δὴ οὕτως ἐχέτω. Δεῖ δέ μ', ὡς ἔοικεν, ἀνακοινώσασθαι τοῖς ἀναγνώσταις καὶ τόδε· πῶς τοσούτων προσθηκῶν γενομένων, ὅσας ὁ λόγος φθὰς διεδήλωσεν, εἶτα ὁ τῶν σελίδων τῆς παρούσης ἐκδόσεως ἀριθμὸς οὐ μόνον οὐκ ηὔξησεν, ὡς ἔγωγ' ᾤόμην τὸ πρίν, ἀλλὰ καὶ μικρῷ ἐλάσσων ἀπέβη, ὡς νῦν δρῶμεν. 'Αλλ' εἰκότως γε τοῦτο συμβῆναι ἔμελλε, πρῶτον μὲν ἐν ταῖς σελίσι πλειόνων στίχων συμπυκνωθέντων ἢ ἐν τῇ προτέρᾳ ἐκδόσει, διὰ τὴν σπάνιν δηλονότι τῶν λεγομένων διαστίχων, εἶτα δὲ πολλῆς καὶ ἄλλης χώρου οἰκονομίας προσγενομένης ἐκ τοῦ ἐξεῶσθαι μὲν πανταχόθεν τὰ hic, haec, hoc, ἀντὶ δὲ τούτων ἐγγεγράφθαι τὰ ἁ. θ. οὐ., πολλῷ δήπου συντομώτερα ὄντα· πρὸς δὲ τούτοις καὶ ἐκ τοῦ τὰ Ἑλληνικὰ ῥήματα μὴ κατ' ἀπαρέμφατον ὡς τὰ πολλά, κατὰ δὲ τὸ ά. πρόσωπον τῆς ὁριστικῆς κεῖσθαι τὰ νῦν· ἐπὶ δὲ πᾶσι ἐκ τοῦ ἀφῃρῆσθαι τῆς ἑρμηνείας τὰ πλεῖστα τῶν Ἑλληνικῶν ἄρθρων, ἅτε δὴ περιττά, τοὐθ' ὅπερ καὶ ἐν ἑτέροις λεξικοῖς εἴθισται. Ταῦτ' ἐστι τὰ πολλὴν τὴν εὐρυχωρίαν παρασκευάσαντα τοῖς ἐπεισηγμένοις, καὶ εἰ καλῶς ἐγὼ ἕκαστα διαριθμήσας ὑπελογισάμην, ἑπτὰ σχεδόν τι φύλλοις τυπογραφικοῖς περιεκτικωτέραν τῆς πρώτης τὴν παροῦσαν ἔκδοσιν ἔχοι ἄν τις λέγειν.

Ἔστι τοίνυν ἴσως ἐκ τῶν ἀνωτέρω ἰδεῖν, ὅτι καὶ ὑπὲρ τὰ ἐν τῇ ἀγγελίᾳ ὑπεσχημένα τὸ βιβλίον παρέχεται, ἄλλος δ' ἂν εἴη λόγος, εἰ καὶ κατὰ τὴν τοῦ κοινοῦ προσδοκίαν ἀρκούντως ἔχει. Ἄλλο γὰρ ἄλλων μέτρον ἀνθρώπων, μάταιος τ' ἂν εἴην, εἰ τοὐμὸν μέτρον καὶ τὴν ἐμὴν κρίσιν κανόνα τοῖς ἄλλοις τιθέναι βουληθείην. Τοσοῦτο μέντοι θαρρούντως ἂν ἀποφηναίμην, ὅτι καὶ τελειότερον ἂν ἐσταλμένον, τό γ' ἐπ' ἐμοί, ἐξεδέδοτο τὸ βιβλίον, εἰ μὴ ἡ πανταχόθεν προσπίπτουσα πολλὴ αὐτοῦ ζήτησις ἐπεῖγε τόν τε τυπογράφον κἀμὲ αὐτόν, ὅτι τάχιστα καὶ κάλλιστα αὐτὸ συντελέσαι, ὃ δὴ καὶ ἐγένετο ἐν μησὶν οὐχ ὅλοις δύο καὶ εἴκοσιν.

Εἰ δέ τι καὶ περὶ τυπογραφικῶν παροραμάτων δέοι εἰπεῖν ὧν ἐν τοιούτῳ μάλιστα τεύχει, ὄμμασι μαθητῶν ἀνασκήτοις προτιθεμένῳ, οὐκ ἐλάχιστον λόγον ποιεῖσθαι δίκαιον, ἀρκείτω τοῦτο ῥηθέν, ὅτι τῆς γε παλαιᾶς ἐκδόσεως, ἱκανῶς περὶ τοῦτο τὸ μέρος καθαρευούσης, οὔ τι πλημμελεστέρα ἡ παροῦσα δοκεῖ τῶν πιεστηρίων ἐξεληλυθέναι.

Ἔρρωσθε οἱ χρησόμενοι τῷ βιβλίῳ καὶ συγγνωμονικῶς διάκεισθε τῷ πονήσαντι.

ΣΤΕΦΑΝΟΣ Α. ΚΟΥΜΑΝΟΥΔΗΣ

Ἐν Ἀθήναις,
μηνὸς Ἰανουαρίου λήγοντος, ἔτους ͵αωνδ'.

Digitized by Google

Κἂν τῇ τρίτῃ ταύτῃ ἐκδόσει πολλὰ μὲν κατὰ τὸν ἄνω δηλωθέντα τρόπον προσετέθη, πολλὰ δὲ καὶ διωρθώθη· ὁπόσα δὲ καὶ ὁποῖα, οὐ βούλομαι λέγειν, οὐδὲν γὰρ ὄφελος τῶν λόγων ὁρῶ, ὡς νῦν ἔχει παρ' ἡμῖν τὰ πράγματα, τῆς βιβλιοκρισίας τῆς κατ' ἐπιστήμην τελέως δὴ σιγησάσης. Εἰ δ' ἄλλως εἶχε τὰ ἡμέτερα, ἔλεγον ἄν, οὐδὲν ὀκνήσας, ἅ τε προσδοκῶν ἐκ τῆς τῶν ἐπαϊόντων εἴτ' ἐπινεύσεως εἴτ' ἀντιλογίας ὠφέλειάν τινα τῇ βίβλῳ ποριεῖσθαι πρὸς τὴν αὐτῆς ἔν γε τῷ ὕστερον χρόνῳ τελειοτέραν ἀπεργασίαν. Τούτου δ' οὐκ ὄντος, ἡ σιγὴ κράτιστον. Τοσοῦτο μόνον εἰρήσθω, ὅτι ἐν τῇ διασκευῇ τῆς δε τῆς ἐκδόσεως ἐχρησάμην καὶ τοῖς νεωτάτοις τοῦ τε Klotz καὶ τοῦ Georges Λατινογερμανικοῖς λεξικοῖς, ἔτι δὲ καὶ τῇ τοῦ μακαρίτου Ross βίβλῳ τῇ ἐπιγραφομένῃ· Italiker und Graeken; Lateinisch ist griechisch. Zweite Bearbeitung. Halle, 1859. Τέλος δ' ἐπιτίθημι τῷ ἐπιλόγῳ τούτῳ ἀναγράφων τὴν ῥῆσιν, ἣν ἡ ὑπὸ Οὐλερίχου ἐν ἔτει αωμγ'. γενομένη πρώτη τοῦ λεξικοῦ ἔκδοσις ἐπὶ κεφαλῆς εἶχεν· ἔστι δὲ ἥδε·

Ex illis nos velim intelligi pingendi fingendique conditoribus, qui opera sua pendenti titulo inscripserunt, ut «Apelles faciebat» aut «Polycletus»; tanquam inchoata semper arte et imperfecta, ut contra judiciorum varietates superesset artifici regressus ad veniam, velut emendaturo quidquid desideraretur, si non esset interceptus. Plin. H. N. praefat.

Σ. Α. Κ.

Ἐν Ἀθήναις,
μηνὸς Αὐγούστου μεσοῦντος ἔτους αωξδ'.

Θᾶττον ἢ ὡς ἄν τις ᾠήθη διαπραθέντων τῶν τῆς τρίτης ἐκδόσεως ἀντιτύπων καὶ τῶν τῆς Λατινίδος σπουδαστῶν οὐ μετρίως ἀπορουμένων, οἱ τῶν μακαριτῶν Κωνσταντίνου Ἀντωνιάδου καὶ Στυλιανοῦ Βλαστοῦ υἱοὶ Γεώργιος καὶ Κωνσταντῖνος, τὴν πατρῴαν εὐδοκίμως μετιόντες τέχνην, παρεκάλεσάν με ἐπὶ νέας ἐκδόσεως ἐκπόνησιν· ἐγὼ δ' ἀσμένως ὑπήκουσα, ἅτε καὶ βουλόμενος τελειοτέραν ἀπεργάσασθαι τὴν βίβλον, ἧς τὸ ἀτελὲς οὐδεὶς μὲν τῶν παρ' ἡμῖν ποτε δημοσίᾳ κατέδειξεν, αὐτὸς δ' ἐγὼ ἱκανῶς ἐδόκουν μοι συνορᾶν ἀπὸ πολλοῦ χρόνου. Ἐπιχειρήσας οὖν τῇ τετάρτῃ ταύτῃ ἐκδόσει πολλὰ μὲν τῶν τέως παραλελειμμένων εἰσήγαγον, ἕτερα δ' αὖ ἡμαρτημένως ἔχειν δοκοῦντα διώρθωσα, οὐκ ἄλλῃ καθ' ὅλου μεθόδῳ χρησάμενος ἢ τῇ ἐν τῷ προλόγῳ τῆς β'. ἐκδόσεως δεδηλωμένῃ. Εἰ δέ που παρεξέβην, οἷον ἐν τῇ μικρῷ νῦν θαμινωτέρᾳ ἢ πρώην παραθέσει ἀρχαίων χωρίων ἢ ἑρμηνευμάτων ἐκ τῆς ὁμιλουμένης, κἀκ τούτου ἀσυμμετρία τις εἰς τὸ ὅλον τῆς διασκευῆς ὑπεισῆλθε, συγγινωσκέτωσάν μοι οἱ ἀναγνῶσται ἐνδόντι καὶ πέρα τοῦ

ἀκριβῶς μεθοδικοῦ ὁπότε τι τῶν περιεργοτέρων πραγμάτιον ἢ ῥημάτιον ὑποσαίνοι. Οὐ γὰρ πάντως ἡ περὶ ταῦτα λέσχη ἐπὶ βλάβῃ τῶν λοιπῶν ἐπεισῆκται, πάνυ γε μικρόν τινα τόπον ἐν τῷ ὅλῳ κατειληφυῖα. Καὶ ταῦτα μὲν δὴ οὕτω. Βοηθήματα δέ μοι προσεγένετο τῷ ἔργῳ νέα ἥ τε ἐν ἔτει 1869 τυπωθεῖσα ἕκτη ἔκδοσις τοῦ Λεξικοῦ τοῦ Georges καὶ ἡ Γερμανιστὶ συντεταγμένη Ἑλληνικὴ ἐτυμολογία Κουρτίου, ἡ τρὶς ἤδη ἐν τῇ τελευταίᾳ δεκαετηρίδι τυπωθεῖσα, ἔτι δὲ καὶ ἡ τρίτη ἔκδοσις (1865—1870) τοῦ ὑπὸ Pape Λεξικοῦ τῶν κυρίων ὀνομάτων τῆς Ἑλληνικῆς. Καὶ φίλος δέ τις τῶν ἐμῶν, ὁ ἀπὸ ἐτῶν ἐν τῇ Ῥιζαρείῳ ἐνταῦθα σχολῇ τὰ Λατινικὰ διδάσκων Βασίλειος Σχινᾶς, πολλά μοι ἐν ταῖς ξυνουσίαις ἑκάστοτε ἀνακοινούμενος τῶν ἑαυτοῦ παρατηρημάτων περὶ τὰ ἡμαρτημένα ἢ ἐνδεῶς ἔχοντα ἐν τῷ Λεξικῷ, οὐ σμικρὸν ὤνησε. Μάλιστα δὲ ὑπὲρ τοῦ τυπογραφικῶς καθαρεῦσαι τὴν ἔκδοσιν ταύτην ἐφρόντισα, βοηθοῖς δ' ἐχρησάμην πρὸς τὴν διόρθωσιν τοῖς υἱέσιν Ἀθανασίῳ καὶ Πέτρῳ. Τοσαῦτα βραχέως εἰπὼν τὸ suum cuique ἀπέδωκα, οὐδέ τινος ἄλλου μ' ἔτι πόθος καὶ εὐχὴ ἴσχει, ἢ τοὺς μὲν ἐμοὺς περὶ τὸ μέρος τοῦτο τῆς φιλολογίας πόνους μέτριόν τιν' ἔτι χρόνον μὴ ὅλως ἀχρήστους δόξαι τοῖς νεωτέροις τῶν φιλομαθούντων, ἑτέρους δ' ἄνδρας οὐκ εἰς μακρὰν ἐπαναστῆναι τῇ Ἑλλάδι, ἡμῶν κρείττονας ἐργάτας ἐν τῷ τῆς παιδείας ἀγρῷ.

Σ. Α. Κ.

Ἐν Ἀθήναις,
μηνὸς Ἰανουαρίου μεσοῦντος, ἔτους αωογ'.

ΠΕΡΙ ΤΗΣ ΠΑΡΟΥΣΗΣ Ε'. ΕΚΔΟΣΕΩΣ

Ἡ παροῦσα Ε'. ἔκδοσις ἐγένετο τῇ ἐπιμελείᾳ τῶν κ.κ. Ἰω. Πρωτοδίκου καὶ Μ. Βιαγκίνη, καθηγητῶν (α). Προσετέθησαν ἐν ταύτῃ πλέον τῶν πέντε χιλιάδων λέξεων, διωρθώθησαν πολλὰ ἁμαρτήματα τυπογραφικὰ τῆς προηγουμένης ἐκδόσεως καὶ ἐν γένει πᾶσα κατεβλήθη φροντὶς ἵνα τὸ βιβλίον ᾖ ἀπηλλαγμένον τυπογραφικῶν ἁμαρτημάτων.

Ἐν Ἀθήναις τὴν 15 Ἀπριλίου 1884.

Οἱ ἐκδόται.

(α) Ἀπὸ σελίδος 1—200 τοῦ Α'. μέρους καὶ 1—168 τοῦ Β'. μέρους ἐθεωρήθη παρὰ τοῦ κ. Ἰω. Πρωτοδίκου· ἀπὸ δὲ τῆς σελίδος 201—τέλους τοῦ Α'. μέρους καὶ 169—τέλους Β'. μέρους ἐθεωρήθη παρὰ τοῦ κ. Μ. Βιαγκίνη.

Digitized by Google

ΠΙΝΑΞ ΕΞΗΓΗΤΙΚΟΣ

ΤΩΝ ΚΑΤ' ΑΠΟΚΟΠΗΝ ΓΕΓΡΑΜΜΕΝΩΝ ΛΕΞΕΩΝ

αἰτ.	αἰτιατική.
ἄκλιτ.	ἄκλιτον.
ἀμφ. γρ.	ἀμφίβολος γραφή.
ἀπαρέμφ.	ἀπαρέμφατον.
ἀπροσώπ.	ἀπροσώπως.
ἀ.	ἀρσενικόν.
ἀφαιρ.	ἀφαιρετική.
ἄχρηστ.	ἄχρηστον.
β. ἢ βοτ.	βοτάνη.
γεν.	γενική.
Γλωσσ.	Γλωσσάριον.
δ.	δένδρον.
δηλ.	δηλαδή.
ἐλλειπτ.	ἐλλειπτικόν.
ἑν.	ἑνικῶς.
ἐναρκτ.	ἐναρκτικόν.
ἐπίῤ.	ἐπίῤῥημα.
ἐπιτατ.	ἐπιτατικόν.
ἐπιφών.	ἐπιφώνημα.
εὔχρηστ.	εὔχρηστον.
ἐφετ.	ἐφετικόν.
ζ.	ζῶον.
θαμιστ.	θαμιστικόν.
θ.	θηλυκόν.
ἴδ.	ἴδε.
ἰχθ.	ἰχθύς.
κ. τ. τ.	καὶ τὰ τοιαῦτα.
κ. τ. λ.	καὶ τὰ λοιπά.
κωμ.	κωμικῶς.
λ. ἢ λέξ.	λέξις.
μεταφ.	μεταφορικῶς.
ὀρθοτ.	ὀρθότερον.
οὐ.	οὐδέτερον.
οὐδ.	οὐδετέρως.
παθητ.	παθητικῶς.
παροιμ.	παροιμιακῶς.
πληθ.	πληθυντικῶς.
ποιητ.	ποιητικῶς.
πρβ.	παράβαλε.
πρόθ.	πρόθεσις.
πτ.	πτηνόν.
Σημ.	σημείωσις.
σημ.	σημαίνει.
σπάν.	σπάνιον.
σύνδ.	σύνδεσμος.
συνηθ.	συνηθέστερον.
τριτοπρ.	τριτοπρόσωπον.
ὑποκορ.	ὑποκοριστικόν.
ὑπον.	ὑπονοεῖται.
φ.	φυτόν.

Digitized by Google

ΜΕΡΟΣ ΠΡΩΤΟΝ

Α

Α συντόμως, σημ. τὸ πρωνύμιον Aulus, Αὖλος. ἐν ἐπιγραφαῖς ἐπιτυμβίαις, annos. ἐπὶ τῶν ψήφων ἐδήλου· ἐν μὲν ταῖς ἐκκλησίαις τὸ antiquo, ἀκυρῶ, (τὸν νέον εἰσαγόμενον νόμον καὶ ἐμμένω τοῖς παλαιοῖς)· ἐν δὲ τοῖς δικαστηρίοις τὸ absolvo, ἀπολύω (τὸν κατηγορούμενον). ὅθεν τὸ Α ἐκλήθη καὶ litera salutaris, σωτήριον γράμμα. Τὰ a. d. σημ. ante diem τὰ A. A. ἐν ἐπιγραφαῖς = Augusti duo τὰ A. A. A· = Augusti tres τὰ δὲ A. V. C., anno urbis conditae, ἢ ab urbe condita. Τὰ III viri A. A. A. F. F. Triumviri auro argento æri flando feriundo.

ā, ἐπιφών. ἀντὶ τοῦ ah.

ā, ăb, abs (a πρὸ συμφώνου, ab πρὸ συμφώνου, φωνήεντος καὶ τοῦ δασέος h, abs σπαν. πρὸ τῶν c, q, t.) πρόθ. μετ' ἀφαιρ. τοπικῶς· ἀπό τινος, παρά τινος, ἔκ τινος. ab Aegina Megaram versus navigare, ἀπὸ τῆς Αἰγίνης ἐπὶ Μεγάρων πλεῖν. a rege venio, παρὰ τοῦ βασιλέως ἔρχομαι. lux refulget ab aqua, τὸ φῶς ἀντιλάμπει ἀπὸ τοῦ ὕδατος. usque a Capitolio, ἀπὸ Καπιτωλίου μέχρις ἐνταῦθα. procul a patria, πόῤῥω ἀπὸ τῆς πατρίδος. prope a Sicilia, πλησίον Σικελίας. Marathon, ab Athenis abest decem millia passuum, ὁ Μαραθὼν ἀπέχει τῶν Ἀθηνῶν δέκα χιλιάδας βημάτων (ὀγδοήκοντα στάδια.) non a re est, οὐκ ἀπὸ σκοποῦ, οὐκ ἀλλότριόν ἐστιν. non ab nulla ratione videtur, οὐκ ἀπεικὸς δοκεῖ. a morbo liberari, ἐλευθεροῦσθαι ἀπὸ τῆς νόσου, ἀπαλλάττεσθαι τῆς νόσου. expiare aliquem a scelere, καθαίρειν τινὰ τοῦ κακουργήματος. se ab hoste defendere, ἀμύνεσθαι τὸν ἐχθρόν. orbus a liberis, ἔρημος τέκνων. impedio aliquem a scribendo, κωλύω τινὰ τοῦ γράφειν. metuo ab illo, φοβοῦμαι μή τι πάθω ὑπ' ἐκείνου. a fundamentis, ἐκ θεμελίων· a tergo, ὄπισθεν. a fronte, κατὰ μέτωπον· a latere, ἐκ πλαγίου, a dextera ἐκ δεξιᾶς. stare ab aliquo, στῆναι μετά τινος, συστῆναί τινι. sentire ab aliquo- φρονεῖν τά τινος. Turnus ab Aricia, ὁ ἐξ Ἀρικίας (ἀπ' Ἀρικίας) Τύρνος, ὁ Ἀρικηνὸς Τύρνος. nostri illi a Platone, οἱ ἡμέτεροι ἐκεῖνοι οἱ ἀπὸ Πλάτωνος, οἱ Πλατωνικοί. 2) τίθεται ἐπ' αἰτίου, μάλιστα ἐπὶ τοῦ ἐμψύχου ποιητικοῦ αἰτίου κ. τ. τ. ὑπό τινος, παρά τινος. ab hoste interfectus est, ὑπὸ τοῦ πολεμίου ἐφονεύθη. a patre laudor, ὑπὸ τοῦ πατρός, παρὰ τοῦ πατρὸς ἐπαινοῦμαι. ab hoste interiit, ὑπὸ τοῦ ἐχθροῦ ἀπώλετο. ab ense mori, ξίφει ἀποθανεῖν. a bestiis morsus, ἡ ὑπὸ θηρίων δῆξις. amicus ab amando appellatus est- ὁ φίλος ἀπὸ τοῦ φιλεῖν ὠνομάσθη. ab ali, quo disco, παρά τινος μανθάνω. ab aliquo accipere aliquid, παρά τινος λαμβάνειν τι. doleo ab animo, πονῶ τῇ ψυχῇ. laboro ab oculis, κάμνω τοὺς ὀφθαλμούς. ab ira, ὑπ' ὀργῆς. ab odio, ἀπὸ μίσους, ὑπὸ μίσους. a se, ἀφ' ἑαυτοῦ. 3) χρονικῶς· ἀπό τινος, ἔκ τινος, μετά τινα. ab hora tertia, ἀπὸ τῆς τρίτης ὥρας. a mane ad noctem, μέχρι νυκτὸς ἐξ ἑωθινοῦ. ab Urbe condita, ἀπὸ κτίσεως Ῥώμης. inde a principio, εὐθὺς ἐξ ἀρχῆς, ἀπ' ἀρχῆς. omnes usque a Romulo, πάντες ἐφεξῆς ἀπὸ Ῥωμύλου. a pueris, ἀπὸ παίδων, ἐκ παίδων. ordior ab aliquo, ἄρχομαι ἀπό τινος. a rege secundus, ὁ μετὰ τὸν βασιλέα δεύτερος. 4) ἐπί τινος. Narcissus ab epistolis, Νάρκισσος ὁ ἐπὶ τῶν ἐπιστολῶν· a manu,, ὁ γραφεύς. servus a pedibus, δοῦλος ὁ ἀκόλουθος. Σημ. ἡ πρόθεσις αὕτη εὕρηται καὶ πρὸ ἐπιῤῥημάτων, οἷον· a peregre, ἔξωθεν. Ἐνίοτε δὲ (μάλιστα παρὰ ποιηταῖς) καὶ

χωρίζεται ἀπὸ τοῦ πτωτικοῦ, οἷον· damnis dives ab ipsa s u i s. Τέλος ἐν τοῖς συνθέτοις aufero καὶ aufugio ἡ ab ἐγένετο au.

Aba, ae, ἀ. ὁ Ἄβος, ὄρος Ἀρμενίας.

ăbactor, ōris ἀ. (abigo) ἀπελάτης, κλέπτης βοσκημάτων.

ăbactus, ūs, ἀ. (abigo) ἀπελασία.

ăbactus, a, um, ἴδ. abigo.

ăbăcŭlus, i. ἀ. ἀβάκιον, ἀβακίσκος.

ăbăcus i, ἀ. ἄβαξ, δηλ. ἀριθμητικός, μαθηματικός, κυβευτικὸς πίναξ. 2) τραπέζιον ἐπιδεικτικόν· 3) ἡ ἐπὶ τοῦ κίονος τετράγωνος πλάξ. 4) abaci parietum, πλινθίδες τοίχων. 5) πινάκιον, παροψίς.

†ăb-æstŭo, āvi, ātum, āre, βρίθω, εὐθηνῶ.

ăbagmentum, i. οὐ. ἐκβόλιον, ἀμβλωθρίδιον.

ăb-ăliĕnātĭo, iōnis, θ· ἀπαλλοτρίωσις.

ăb-ăliĕno, avi, atum, are, aliquid, ἀπαλλοτριῶ τι. aliquem ab aliquo, τινά τινος.

ăb-ambulantes, ταὐτὸ τῷ abscedentes.

ăb-ămĭta, ae· θ. ἀδελφὴ ἀπὸ πάππου.

ăb-ante, πρόθ. ὡς incircum, insuper κττ. ἀπὸ πρό. Ἐπιγρ.

Ăbantēus, a, um, Ἀβάντειος Ăbantĭădēs, ae, ἀ. ὁ Ἀβαντιάδης, υἱός, ἢ ἀπόγονος τοῦ Ἄβαντος. Abantĭās iădis, θ. ἡ Ἀβαντιάς, ἐγγόνη τοῦ Ἄβαντος. 2) ἡ Ἀβαντίς, ἀρχαῖον τῆς Εὐβοίας ὄνομα. Abantĭus, a, um, Εὐβοϊκός.

Abaortae, arum, ἀ. ἔθνος τῆς Ἰνδίας.

Abas, antis, ἀ. ὁ Ἄβας.

Ăbătos, i, θ. ἡ Ἄβατος, ἱερὰ νῆσος τοῦ Νείλου.

ăb-ăvĭa, ae, θ. ἐπιτήθη.

ăb-avuncŭlus i, ἀ. τοῦ προπάππου ἢ τῆς προμάμμης ἀδελφός.

ăb-ăvus, i, ἀ. ἀπόπαππος, καὶ γενικώτερον, πρόγονος.

Abba, ae, θ. Ἄββα, πόλις Λιβύης.

†abbās, ātis, ἀ. ἀββᾶς, κοινοβιάρχης, ἀρχιμανδρίτης

†abbātia, ae, θ. κοινόβιον.

†abbatissa, ae, θ. ἡ ἀρχιμανδρῖτις.

Abbassus, i, θ. πόλις τῆς μεγάλης Φρυγίας.

abbrĕvĭo, are, (ad brevio) βραχύνω, ἐπιτέμνω.

abcīdo, σπαν. ἀντὶ τοῦ abscido.

Abdēra, ae, θ. εἴτε Abdēra, orum, οὐ. τὰ Ἄβδηρα, πόλις τῆς Θράκης, ἧς οἱ κάτοικοι ἐπ' ἀβελτηρίᾳ κακῶς ἤκουον. ὅθεν παροιμ. hic Abdera, ἐνταῦθα μωρία ἐπικρατεῖ· 2) πόλις Ἱσπανίας, τὰ Ἄβδηρα καὶ ἡ Ἄβδηρα, τανῦν Adra.

Abdērīta εἴτε Abderītes, ae, ἀ. ὁ Ἀβδηρίτης. Abdērītānus εἴτε Abdērītĭcus, a, um, Ἀβδηριτικός.

abdĭcātĭo, iōnis, θ. (abdĭco) ἀποκήρυξις π. χ. υἱοῦ. 2) ἀπόθεσις, κατάθεσις ἀρχῆς,

abdĭcātīvē, ἐπίρ. (abdĭco) ἀποφατικῶς. ἀρνητικῶς.

abdĭcātīvus, ταὐτὸ τῷ negativus.

*abdĭcatrix, īcis, θ. ἡ ἀποκηρύττουσα

ab-dĭco, avi, atum, are ἀπαρνοῦμαι 2) aliquid, ἀποκυρῶ, ἀναιρῶ τι. 3) aliquem, πρ. μτγν. abdicare filium ἀποκηρύττειν τὸν παῖδα, ἀπείπασθαι ὅθεν abdicatus ἀποκεκηρυγμένος, ἀποκήρυκτος. συνώνυμ. exheredare. 4) se re, π. χ. magistratu παύεσθαι τῆς ἀρχῆς, ἀποτίθεσθαι τὴν ἀρχήν, ἀποκηρύττειν τὴν ἀρχήν. Σημ. abdicato magistratu, παυσάμενος τῆς ἀρχῆς.

ab dīco, xi ctum, ĕre, ἀποδοκιμάζω. 2) ἀποκρίνω, ἀπαρνοῦμαι.

abdĭte, ἐπίρ. (abdo) κεκρυμμένως, κρύφα.

*abdĭtīvus, a, um, κεχωρισμένος.

abdĭtus, ἴδ. abdo.

ab-do, dĭdi, dĭtum, ĕre, ἐκποδὼν ποιοῦμαι, κρύπτω, ἀποκρύπτω, se abdere in locum, ἀποχωρεῖν, κρύπτεσθαι εἰς τόπον. ποιητ. lateri abdidit ensem, τῇ πλευρᾷ ἔκρυψε τὸ ξίφος, τὴν πλευρὰν διέτρωσε τῷ ξίφει. abditus, a, um, ἀποκεκρυμμένος, ἀπόκρυφος, κρυπτός.

abdōmen, ĭnis, οὐ. λαπάρα, ὑπογάστριον. μεταφ. natus abdomini suo, χαριζόμενος τῇ γαστρί, τῇ ἡδυπαθείᾳ. 2) τὰ αἰδοῖα του ἀνδρός.

ab-dūco, xi, ctum, ĕre, aliquem, ἀπάγω τινά. in latomias, εἰς τὰ λατομεῖα. abducta Neroni uxor, ἀπήχθη τῷ Νέρωνι ἡ γυνή. animum a solicitudine abducere, τὴν διάνοιαν ἀφιστάναι τῆς φροντίδος. abduci a studio negotiis, ἀποτρέπεσθαι, κωλύεσθαι τῆς σπουδῆς ὑπὸ τῶν ἐργασιῶν. a conjecturis abducere divinationem, τῶν εἰκασιῶν χωρίζειν τὴν μαντικήν. clavem abducere, ἐφέλκεσθαι τὴν κλεῖν.

abductĭo, ōnis, θ. ἀπαγωγή.

abductus, ἴδ. abduco.

abecedārĭus, a, um, τοῦ ἀλφαβήτου, ἀλφαβητικός. abecedaria, ae, θ. ἡ στοιχειώδης διδασκαλία. abecedarium, i, οὐ. ἡ ἀλφάβητος, τὸ ἀλφάβητον. abecedarius, ii, ἀ. μαθητὴς τῶν πρώτων στοιχείων.

Abella, ae, καὶ Abellae, arum, θ. Ἄβελλα πόλις Καμπανίας, ἡ τανῦν Avella vecchia. Abellānus, Ἀβελλανός. Abellana nux, καὶ ἁπλῶς Abellana, ae, θ. ἡ Ποντικὴ καρύα καὶ ὁ καρπὸς αὐτῆς τὸ λεπτοκάριον.

Ăbellīnum, i, οὐ. Ἀβέλλινον, πόλις τῶν Ἱρπινῶν ἐν τῇ Σαυνίτιδι, ἡ τανῦν Avellino.

ăb-ĕo, īvi, εἴτε ĭi, ĭtum, ire, ἄπειμι, ἀπέρχομαι, ἀπαλλάττομαι, abire magistatu, ἐξέρχεσθαι ἐκ τῆς ἀρχῆς, παύεσθαι τῆς ἀρχῆς. abire e vita, οἴχομαι, τελευτῶ. abiit, annus, παρῆλθεν ὁ ἐνιαυτός. e me-

Digitized by Google

dio, abire, ἐκποδὼν γενέσθαι. nausea abiit, ἡ ναυσία ἠφανίσθη, ἐπαύσατο. abire ab jure, παραβαίνειν τὸ δίκαιον. abi, α) ἐπὶ καλοῦ· εὖ ἔχει, εἶεν. β) ἐπὶ κακοῦ· ἄπαγε, φθείρου! abi in malam rem! ἄπαγε εἰς κόρακας! 2) in aliquid, τρέπομαι, μεταβάλλομαι εἴς τι. E in U abiit, τὸ E εἰς ΟΥ ἐτράπη. oppidum in villam abiit, ἡ πόλις μετέβαλεν (συνεστάλη) εἰς κώμην. 3) ἀποβαίνω. non posse istaec sic abire, ἀδύνατον ταῦτα οὕτως ἀποβῆναι. 4) ἐπὶ δημοπρασίας, res a me abit, οὐ λαμβάνω τὸ πρᾶγμα.—Φράσις· non longe abieris (=μὴν πᾶς μακρυά)· αὐτίκα!

Ăbĕōna, ae, θ. (abire) θεά, ἣ ἀποδημεῖν μέλλοντες ηὔχοντο.

ab-equĭto, are, ἀποτρέχω ἐφ' ἵππου. (ἀμφ. γρ.)

ăberrātio, iōnis, θ. ἄνεσις.

ăb-erro, avi, atum, are, ἀφαμαρτάνω, ἀποπλανῶμαι τῆς ὑποθέσεως, πόρρω γίγνομαι τοῦ προκειμένου. a regula, ἐκτρέπομαι τοῦ κανόνος. 2) aberro a miseria, ἀπαλλάττομαί πως τῆς ταλαιπωρίας, ἐπιλανθάνομαι τῶν πόνων.

abfŏre, abfŏrem, abfutūrus, ἴδ. absum.

*abhĭĕmat (ἀμφ. γρ.) ταὐτὸ τῷ hiemat.

ăb-hinc, ἐπίρ. ἐπὶ παρελθόντων· ἤδη πρό, πρό. abhinc annos εἴτε annis novem, πρὸ ἐννέα ἐτῶν, ἔνατον ἔτος τουτί. 2) ἐπὶ μέλλοντος· ἤδη, ἀπὸ τοῦδε. 3) ἀντὶ τοῦ hinc, ἐντεῦθεν.

ăb-horrĕo, ŭi, ēre, ab aliqua re, ἐνίοτε καὶ aliquid ἢ aliquem, ἀποστρέφομαι, μυσάττομαι, δυσχεραίνω τι. animus abhorret a nuptiis, ὁ νοῦς ἀποστρέφεται τὸν γάμον. abhorreo a scribendo, δυσχεραίνω τὸ γράφειν. 2) ἀπέχω τινός, πόρρω τινός εἰμι, διαφέρω τινός. a suspicione abhorret, πόρρω τῆς ὑποψίας ἐστίν. temeritas, non procul ab insania abhorret, ἡ προπέτεια οὐ πολὺ τῆς παραφροσύνης διαφέρει. abhorrens, διάφορος ἀνάρμοστος, ἀπεικώς.

†ăbhorresco, ταὐτὸ τῷ horresco.

ăbhorrĭde, ἐπίρρ. ἀναρμόστως, σκληρῶς.

ăbiegnus, a um, ἐλάτινος.

abiens, euntis, μετοχὴ τοῦ abeo.

ăbiēs, iĕtis, θ. (abeo? ὡς ἐλάτη ἐκ τοῦ ἐλάω.) ἐλάτη, ποιητ. ἐλατίνη ναῦς, ἐλάτινον δόρυ, ἐλάτινον πινάκιον, (ἐπιστολή.) Παρὰ ποιηταῖς εὕρηται τρισύλλαβον ābjĕtĕ καὶ ābjĕtĕ, τετρασύλλαβον δὲ ābjĕtĭbŭs.

†ăbĭĕtārĭus, ii, ἀ. (abies) τραπεζοποιός.

*ăbĭga, ae, θ. (abigo) ἡ χαμαίπιτυς, βοτ. ἐξαμβλώσκουσα τὸ ἔμβρυον

ăbigeātor, ōris, ταὐτὸ τῷ abĭgeus.

ābĭgeātus ūs, ἀ. ἀπελασία, κλοπὴ βοσκημάτων.

ăbĭgĕus, i, ἀ. (abigo) ἀπελάτης, κλέπτης κτηνῶν.

ăbĭgo, ēgi, actum, ĕre, (ab-ago) ἀπελαύνω. gregem, ἀπάγω ἀγέλην. uxorem, ἀποπέμπω τὴν γυναῖκα. partum, ἀποφθείρω τὸ ἔμβρυον. abacti oculi, κοῖλοι ὀφθαλμοί.

Abĭi, orum, ἀ. Ἄβιοι, Σκυθικὸν ἔθνος.

ăbĭtĭo, iōnis, θ. (σπάν.) ἀποχώρησις, ἀπέλευσις.

*ă-bīto, ĕre (bēto) ἀποχωρῶ, ἀπέρχομαι.

ăbĭtus, ūs, ἀ. ἀποχώρησις, ἀπέλευσις. 2) ἔξοδος,

abiecte, ἐπίρ. (abjectus) ἀθύμως, ταπεινῶς. abjectius natus, ἀγεννέστερος.

ăbjectĭo, iōnis, θ. (abjicio) ἀποβολή. animi, ἀθυμία.

abjectus, ἴδ. abjicio.

ăbjicĭo, ēci, ectum, ĕre, (ab-jacio) ἀποβάλλω, ἀποῤῥίπτω. scutum, ῥίπτω τὴν ἀσπίδα, se ad pedes alicujus, προσπίπτειν τοῖς γόνασί τινος. memoriam, beneficiorum abjecit, τὴν μνήμην τῶν εὐεργετημάτων ἀπέβαλεν. abjicio agros, ἀποβάλλω τοὺς ἀγρούς, τουτέστι· πάνυ ὀλίγων πωλῶ τοὺς ἀγρούς. versum abjicere, ἀμελῶς λέγειν τὸν στίχον. abjiciamus ista, ταῦτα ἐῶμεν. 2) ταπεινῶ. auctoritatem alicujus, ταπεινοῦν τὸ ἀξίωμά τινος. se abjicere, ταπεινοῦσθαι, καταισχύνειν ἑαυτόν. abjectus, a, um, ἀπεῤῥιμμένος, ἄθυμος, ταπεινός, φαῦλος.

ab-jūdĭco, avi, atum, are, aliquid ab aliquo εἴτε aliquid alicui, ἀποκρίνω τινά τινος. sibi libertatem, abjudicat, ἑαυτὸν ἀποκρίνει τῆς ἐλευθερίας, abjudicat, Alexandriam a Romanis, κρίνει τὴν Ἀλεξάνδρειαν τοῖς Ῥωμαίοις ἀφαιρετέαν.

*ab-jŭgo, are, ἀποζεύγνυμι, ἀποχωρίζω.

ab-jungo, nxi, nctum, ĕre, ἀποζεύγνυμι, χωρίζω me a re, χωρίζομαί τινος, ἀφίημί τι.

abjūrātĭo, iōnis, θ. ἀπόμοσις, ἐξωμοσία.

abjūrātor, ōris ἀ. ἐξωμότης.

*abjurgo, avi, atum, are, alicui rem, δι' ἔριδος ἀφαιροῦμαί τινά τι, ἀποκρίνω τινά τινος.

ab-jūro, avi, atum, are aliquid, ἀπόμνυμι ἐνόρκως ἀρνοῦμαί τι.

†ablactātĭo, ōnis, θ. ἀπογαλακτισμός.

†ab-lacto, are, ἀπογαλακτίζω.

†ablăquĕātĭo, iōnis, θ. γυρεία, περίσκαψις, δηλ. ἡ περὶ τὴν ῥίζαν τοῦ δένδρου.

ablăquĕo, are, γυρεύω, περισκάπτω δένδρον.

†ablatĭo, iōnis, θ. (aufero) ἀφαίρεσις.

ablātīvus, ὑπον. casus, (aufero) ἀφαιρετικὴ πτῶσις.

†ablātor, oris, ἀ. (aufero) ἀφαιρέτης.

ablatus, ἴδ. aufero.

ablēgātĭo, iōnis, θ. ἀπόπεμψις. 2) ἐξορισμός.

ablegmĭna, um, οὐ. τὰ ἀπόλεκτα σφαγίων.

ablĕgo, avi, atum, are, (ab-legare) ἀποπέμπω, ἀποστέλλω.

ablĭgūrĭo, εἴτε abligurrio, ivi, itum, ire, ἀπολείχω, ἀπολάπτω. patria bona, καταλαφύσσω, καταλιχνεύω τὴν πατρῴαν οὐσίαν.

abligūrrĭtĭo, iōnis, θ. λαφυγμός.

†ablĭgūrītor, ōris, ἀ. λαφηκτύς, ἄσωτος.

*ab-lŏco, avi, atum, are, ἀπομισθῶ, ἐκμισθῶ.

*ab-lūdo, si, sum, ĕre, ἀπᾴδω, ἀπέοικα.

ablŭo, lŭi, lūtum, ĕre, (ἐκ τοῦ ab καὶ luo ἀντὶ τοῦ lavo) ἀπολύω, ἀπονίπτω, ἀποκλύζω, sitim, σβέννυμι, τὴν δίψαν, umbras, ἀποδιώκω, τὴν σκιὰν (φῶς προσάγων).

ablūtĭo, iōnis, θ. (abluo) ἀπόλουσις, ἀπόκλυσις.

†ablūtor, ōris, ἀ. ὁ ἀπολούων.

ablūtus, ἴδ. abluo.

ablŭvĭum, ἀρχαϊκῶς ἀντὶ τοῦ diluvium.

ab-mātertĕra, ae, θ. ἀδελφὴ τῆς ἐπιτήθης.

*ab-năto, are, ἀπονήχομαι, ἀποκολυμβῶ.

†abnĕgatĭo, iōnis, θ. (abnego) ἀπάρνησις.

abnĕgatīvum adverbium, ἀρνητικὸν ἐπίῤῥημα.

†abnĕgātor, ōris, ἀ. ἀπαρνητής.

abnĕgo, avi, atum, are, ἀπαρνοῦμαι, alicui rem, ἀνανεύειν τινί τι. nec (se) comitem abnegat, οὔτε ἀπαρνεῖται ὀπαδός σοι ἔσεσθαι.

abnĕpos, ōtis, ἀ. ἔγγονος ἐγγόνου, τέταρτος ἀπόγονος

abneptis, is, θ. ἐγγόνη ἐγγόνου.

Abnŏba, ae, ἀ. ὄρος Γερμανίας ἔνθα αἱ πηγαὶ τοῦ Δανουβίου. παρὰ Πτολ. τὰ Ἄβνοβα.

abnocto, are, (ab καὶ nox) ἀπονυκτερεύω, ἀποκοιτῶ.

abnōdo, are, (ab-nodus) κλαδεύω. ἴδ. nodus

abnormis, e, (ab καὶ norma) ἄκνομος, αὐτοδίδακτος, οὐ μεμαθηκὼς τοὺς τῶν ἄλλων κανόνας.

ab-nūmĕro, are, ἀπαριθμῶ.

abnŭo, ŭi, ŭĭtum, εἴτε ūtum, ĕre, (ἐκ τοῦ ab καὶ τοῦ ἀρχ. τοῦ nuo) aliquid ἢ esse aliquid, ἀπονεύω, ἀνανεύω, ἀπόφημι, ἀρνοῦμαί τι ἢ μὴ εἶναί τι. nihil abnuit voluntas tuā studio meo, οὐδὲν ἀνανεύει ἡ σὴ θέλησις τῇ ἐμῇ σπουδῇ. imperium abnuere, οὐ δέχεσθαι τὴν στρατηγίαν. locus abunit impetus, ὁ τόπος οὐ προσδέχεται ἐφόδους. æternam sibi naturam abnuit esse, ἀρνεῖται μὴ εἶναι αὐτῷ αἰωνίαν φύσιν. abnuitur ita fuisse, οὔ φασιν οὕτω γενέσθαι.

abnūtīvus, ταὐτὸ τῷ negativus.

abnūto, avi, atum, are, (θαμιστ. τοῦ abnuo.) ἀνανεύω, ἀπονεύω, νεύματι ἀπαγορεύω.

ăbŏlĕfăcĭo, ēre, ταὐτῷ τῷ aboleo.

ăb-ŏlĕo, ēvi, (ŭi), ĭtum, ēre ἀφανίζω, καταλύω, ἀναιρῶ, memoriam, ἀφανίζω τὴν μνήμην. alicui magistratum, καταλύω τινὰ τῆς ἀρχῆς. aboleor, καταλύω τὸν βίον, ἀποθνήσκω. 2) abolere viscera, καθαίρω τὰ σπλάγχνα.

ăbŏlesco, ēvi, ĕre, (ἐναρκτ. τοῦ aboleo) φθίνω, ἀφανίζομαι.

ăbŏlĭtĭo, iōnis, θ. ἀναίρεσις, ἀκύρωσις, ἀφανισμός. facti, ἀμνηστεία.

†ăbŏlĭtor, ōris, ἀ. ἀναιρέτης.

ăbolla, ae, θ. (ἀμβολή) ἀναβολή, περιβόλαιον, εἶδος χλαμύδος.

abōmĭnābilis, e, βδελυκτὸς, ἀποτρόπαιος.

†abōmĭnāmentum, ī, οὐ. τὸ ἀποτρόπαιον πρᾶγμα.

ăbōmĭnanter, ἐπίῤ. βδελυκτῶς.

†ăbōmĭnātĭo, iōnis, θ. βδελυγμὸς, ἀποστροφή.

ăbōmĭno, are, ἀρχαϊκῶς ἀντὶ τοῦ abominor.

ăbōmĭnor, atus sum, ari, (ab omen) ἀποιωνίζομαι, μυσάττομαι, ἀπεύχομαι. quod abominor! ὃ μὴ γένοιτο! Ἡ μετοχὴ abominatus εὕρηται καὶ παθητικῶς.

ăbōmĭnōsus a, um, δυσοίωνος.

Abŏrīgĭnes um, ἀ. (ab origo,) οἱ Ἀβοριγῖνες, οἱ αὐτόχθονες ἢ οἱ ἀρχαῖοι τῆς Λατίνης κάτοικοι, οἱ τῶν Ρωμαίων πρόγονοι.

ab-ŏrĭor, ortus sum, iri, δύομαι, φθίνω.

ăboriscor sci, (aborior) φθίνω.

ăbortĭo, iōnis, θ. (aborior) ἄμβλωσις, ὠμοτοκία, ἔκτρωσις.

ăbortĭo, ivi, itum, ire, ἐξαμβλῶ, ἀπαμβλῶ, ὠμοτοκῶ.

†ăbortĭum, ταυτὸ τῷ abortio.

ăbortīvus, a, um, ἐκβολιμαῖος. ἐκτρωματιαῖος. ovum, ᾠὸν ἐκβόλιμον, ἄωρον. 2) abortivum, ὑπον, medicamentum, ἐκβόλιον, ἀκυτήριον (φάρμακον).

ăborto, are, ἀρχαϊκῶς ἀντὶ τοῦ abortio.

ăbortus, ūs, ἀ. (aborior) ἐξάμβλωσις, ἔκτρωσις. 2) ἐξάμβλωμα, ἔκτρωμα. μεταφ. σύγγραμμα ἀνεξέργαστον, δένδρον κακοφυές. 3) δύσις τῶν ἄστρων.

ab-pătrŭus, i, ἀ. ἀδελφὸς τοῦ ἀποππάπου.

ap-rādo, āsi, āsum, ĕre, ἀποξῶ, ἀποξύρω. barbam, ἀποξύρω, ἀποκείρω τὸ γένειον. radices, ἀποκείρω, ἀποκόπτω τὰς ῥίζας. μεταφ. abrado aliquid ab aliquo, ἀποκείρω, παντοίοις τρόποις ἀφαιροῦμαί τί τινα. ποιητ. abrasae fauces, τραχεῖς λάρυγγες.

abrasus, ἴδ. abrādo.

*abrĕlictus, a, um, ταὐτὸ τῷ derelictus.

*ab-rĕnuntio, are, ἀποτάσσομαι. diabolo, τῷ Σατανᾷ.

Abrettīni εἴτε Abrettēni, orum, ἀ. Ἀ-

Digitized by Google

ϐρεττηνοί, οἱ κάτοικοι τῆς Ἀϐρεττηνῆς, χώρας τῆς Μυσίας.
abripio, ripui, reptum, ĕre, (ab-rapio) aliquem ab (de) aliquo, ἁρπάζω, ἀποσπῶ τινα ἀπό τινος. abripio aliquem ad quaestionem, ἀπάγω τινὰ εἰς ζήτησιν. abripio me, οἴχομαι φερόμενος, φεύγω,
abrŏdiaetus, i, ἁβροδίαιτος, (ἡ δαπάνη ἐξέλιπεν ὡς ἐν τῷ absis = ἀψίς.)
ab-rōdo, si, sum, ĕre, ἀποχναύω, ἀποτρώγω.
abrŏgātio, iōnis, θ. ἀναίρεσις, ἀποκύρωσις νόμου.
ab-rŏgo, avi, atum, are, legem, ἀποκυρῶ, ἄκυρον ποιῶ, ἀναιρῶ νόμον. alicui magistratum, παύω τινα τῆς ἀρχῆς. fidem alicui, ἀφαιροῦμαί τινα τὴν πίστιν, ἐλαττῶ τὸ ἀξιόπιστόν τινος.
abrosus, ἰδ. abrodo.
abrŏtŏnītes, ae, ἀ. ἀβροτονίτης οἶνος.
abrŏtŏnus, i, ἀ. εἴτε abrotonum, i, οὐ. ἀϐρότονον (β.)
Abrŏtŏnum, i, οὐ. Ἀϐρότονον, πόλις Λιϐύης, τανῦν Sabert.
ab-rumpo, rūpi, ruptum, ĕre, ἀπορρήγνυμι, vincla, τὸν δεσμόν. fas, παραϐαίνω τὸ ὅσιον. sermonem, παύω αἴφνης τὸν λόγον.. me abrumpo, χωρίζομαι, ἀποσπῶμαι. abrumpo vitam, γίγνομαι αὐτόχειρ abrumpere venas, ἀποτέμνω τὰς φλέϐας — abruptus, a, um, ἀπορρώξ, ἀπότομος. abruptus sermo, ἀπότομος, σύντομος λόγος. abrupto, ἐπίρ. (abruptus) ἀποτόμως, προπετῶς.
abrupte, ἐπίρ. ἀποκεχωρισμένως. 2) ἀποτόμως.
abruptio, iōnis, θ. (abrumpo) ῥῆξις, διάλυσις
abruptus, ἰδ. abrumpo.
abs, ἰδ. a, ab.
abs-cēdo, cessi, cessum, ĕre, ἀποχωρῶ, ἀναχωρῶ, ἀπαλλάττομαι, ἀφίσταμαι. incepto, παύομαι τοῦ ἐπιχειρήματος.
abscessio, iōnis, θ. (λέξ. σπάν.) ἀποχώρησις, χωρισμός.
abscessus, ūs, ἀ. (abscedo) ἀποχώρησις, ἀπόστασις, ἀπουσία. 2) ἀπόστημα, εἶδος οἰδήματος.
abscīdo, īdi, īsum, ĕre, (abs-caedo ἀποτέμνω, ἀποσκόπτω, abscīsus, a, um, ἀπότομος δύσϐατος.
ab-scindo, scĭdi, scissum, ĕre, ἀποσχίζω. abscissus, a, um, ἀπότομος, τραχύς,
abscīse, ἀποτόμως, συντόμως.
abscissio, iōnis θ. (abscindo) ἀποσιώπησις (σχῆμα ῥητορικόν.)
abscissus, ἰδ. abscindo.
abscisus, ἰδ. abscido.
absconditе, (καὶ absconse), ἐπίρ. κρυφίως, ἀποκεκρυμμένως. 2) ἀσαφῶς.
absconditus, a um, ἰδ. abscondo.
†absconditor, ōris, ἀ. (abscondo) ὁ ἀποκρύπτων.
abs-condo, condi (condĭdi), condĭtum (consum), ĕre, ἀποκρύπτω, καλύπτω. 2) abscondere locum, ἀποκρύπτω τόπον, δηλ. ἀναχωροῦντί μοι οὐκέτι καταφαίνεται ὁ τόπος. absconditus, a, um, ἀποκεκρυμμένος, ἀπόκρυφος.
†absconsio, ōnis, θ. ἀπόκρυψις.
absconsor, ōris, ἀ. ὁ ἀποκρύπτων.
absectus, a, um, (ab seco) ἀποκεκομμένος.
absegmen, ĭnis, ἀπόκομμα, τέμαχος κρέατος.
absens, ἰδ. absum.
absentia, ae, θ. ἀπουσία.
*absentīvus, a, um, (ἀπουσιαστικός), ὁ πολὺν χρόνον ἀπών.
absento, avi, atum, are, (absum) ἀποπέμπω, ἡ δὲ μετοχὴ absentans κατ' οὐδ. σημ. ἀπών.
*absīdātus, a, um, (absis) κεκαμαρωμένος, ἁψῖσι κεκοσμημένος,.
absĭlio, ii, εἴτε ivi, ire, (ab-salio) ἀποπηδῶ, ἀναπηδῶν, φεύγω. rem, φεύγω τι.
ab-sĭmĭlis, e, ἀπεοικώς, ἀνόμοιος.
absĭnthĭātus, a, um, ἀψινθίῳ μεμιγμένος, absinthiatum vinum εἴτε absinthītes, ae, ἀ. ἀψινθίτης οἶνος.
absinthĭum, ii, οὐ. ἀψίνθιον, μεταφ. ἡ πικρότης ἡ θεραπεύουσα,
absis εἴτε apsis, īdis θ. ἀψίς, τόξον, καμάρα. 2) ὁ κύκλος, ὃν διέρχεται τὸ ἄστρον 3) τρυϐλίον, πινάκιον.
ab-sisto, stĭti, ĕre, re εἴτε ab re, ἀφίσταμαι, ἀποχωρῶ τινος. 2) re εἴτε facere εἴτε faciendo, παύομαί τινος, παύομαι ποιῶν τι, ἀποπαύομαι τοῦ ποιεῖν τι.
*ab-sĭtus, a, um, πόῤῥω κείμενος, διεστηκώς.
absŏcer, ĕri, ἀ. ὁ τοῦ πενθεροῦ πάππος.
absŏlesco, ĕre, (soleo) ἀήθης γίνομαι, ἀχρηστῶ.
absŏlūte, ἐπίρ. τελείως, ἐντελῶς. 2) ἁπλῶς, συντόμως.
ab-sŏlūtio, iōnis, θ. ἀπόλυσις, ἀθώωσις. 2) τελείωσις, ἀπάρτισις. operis, τελεσιουργία.
absŏlūtor, ōris, ἀ. ὁ ἀπολύων.
absŏlūtōrius, a um, ἀπολυτικός, ἀπαλλακτικός.
absŏlūtus, ἰδ. absolvo.
absolvo, vi ūtum, ĕre, aliquem re εἴτε a re, ἀπολύω, ἀπαλλάττω, ἀφίημί τινά τινος. 2) aliquem re εἴτε rei, ἀπολύω τινά τινος (ἐγκλήματος, αἰτίας) judex absolvit injuriarum eum, ὁ δικαστὴς ἀπέλυσεν αὐτὸν τῶν ἀδικιῶν, (τῆς αἰτίας τῶν ἀδικιῶν). absolvere, alquem suspicione regni, ἀπολύω τινὰ τῆς ὑποψίας, τῆς τυραννίδος,. 3) absolvere aliquid, ἀποτελῶ, ἐπὶ τέλος ἄγω, τελεσιουργῶ, ἀνύω τι.

Digitized by Google

paucis absolvere aliquid, συντόμως διελθεῖν τι. promissa absolvit, οὐ ψεύδεται ὑποσχόμενος. absolutus, a um, τέλειος, ἐντελής. adjectivum, absolutum, τὸ ἀπόλυτον ἐπίθετον ὁ τοῦ ἐπιθέτου θετικός. verbum, absolutum, τὸ ἐναντίον τοῦ inchoativum.

absŏne, ἐπίῤ. (absonus) ἀπηχῶς, δυσφώνως.

ab-sŏnus, a, um, ἀπηχής, ἀσύμφωνος, δύσφωνος, ἀπᾴδων. absonum fidei εἴτε a fide οὐκ ἀξιόπιστον, ἀτόπῳ ἐοικός.

ab sorbĕo, bŭi (psi) ptum, ēre, ἀποῤῥοφῶ καταπίνω, λαφύσσω.

***absorptĭo** εἴτε absortio, iōnis θ. κατάποσις, (ἀμφ. γρ.)

abs-pello, absporto, κ.τ.λ. ἴδ. aspello κ.τ.λ

abs-que, πρόθ. μετ' ἀφαιρ. ἄνευ, χωρίς τινος. absque, argumento, ἄνευ ὑποθέσεως idem est versus absque paicis syllabus ὁ αὐτὸς στίχος ἐστὶν ἐκτὸς ὀλίγων συλλαβῶν. absque sententia, παρὰ γνώμην. 2 absque me esset, εἰ μὴ ἦν ἐγώ. absque te esset, nunquam ad solem occasum vi verem, εἰ μὴ σὺ ἦσθα, οὐδέποτε ἂν μέχρις ἡλίου δυσμῶν ἔζων· 3) ἀντὶ τοῦ et abs.

***abstantĭa**, ae, θ. (absto) ἀπόστασις, διάστημα.

abs-tēmĭus, a, um, (temum=μέθη) ἄοινος οἴνου ἀπεχόμενος. μεταφ. νηφάλιος, ἐγκρατής. 2) νῆστις.

abstentus, ἴδ. abstineo.

abs-tergĕo, rsi, rsum, ēre, ἀπομάττω. ἀποψῶ. manus sibi, ἀπομάττεσθαι τὰς χεῖρας lacrimas, abstergeo. ἀπομόργνυμι, ἐξαλείφω τὴν λύπην. 2) abstergere remos καταχλᾶν τὰς κώπας.

abs-terrĕo, ui, ĭtum, ēre, aliquem a re εἴτε re, φόβῳ ἀποτρέπω τινά τινος, δυσωπῶ τινα. 2) alicui rem, ἀφαιροῦμαί τινά τι aliquid, ἐκποδὼν ποιοῦμαί τι.

abstersus, ἴδ. abstergeo.

abstĭnax, ācis, (abstineo) ἐγκρατής.

abstĭnens, ἴδ. abstineo.

abstĭnenter, ἐπίῤ. ἐγκρατῶς.

abstĭnentĭa ae, θ. (abstineo) ἀπόσχεσις, ἐγκράτεια, 2) νηστεία, ἀσιτία.

abstĭneo, ŭi, tentum ēre, (abs-teneo) me re εἴτε a re ἀπέχομαί τινος. manus ab alienis, ἀπέχομαι τὰς χεῖρας τῶν ἀλλοτρίων, abstineo aliquem, ἀπέχω, κατέχω, κωλύω τινά. 2) οὐδετέρως· abstineo re. (σπάν. alicujus rei) ἀπέχομαί τινος. abstinet injuria, ἀπέχεται τῆς ἀδικίας. abstinet se (quin εἴτε quominus) scribat, ἀπέχεται τοῦ γράφειν· ἐνίοτε καὶ μετ' ἀπαρεμφ. 3) ἀπέχομαι τῆς βρώσεως, νηστεύω. abstinens, ἐγκρατής.

***ab-sto**, are, ἀπέχω, ἀφέστηκα.

***abstactio**, iōnis θ. (abstaho) ἀποσπασμός.

abs-trăho, xi, ctum, ĕre, aliquem ab (de, ex) aliquo, ἀποσπῶ, ἀφελκύω τινὰ ἀπό τινος. a bono in pravum abstrahi, ἀπὸ τοῦ καλοῦ ἐπὶ τὸ φαῦλον ἀφελκύεσθαι. abstrahere a sollicitudine, ἀπαλλάττειν τῆς μερίμνης.—abstactus, a, um, ἀφῃρημένος.

abs-trūdo ūsi, ūsum, ĕre, ἀπωθῶ, ἀποκρύπτω. me abstrudo. ἀποκρύπτομαι. abstrusus, a, um, ἀπόκρυπτος, ἄδηλος. homo abstrusus, ἄνθρωπος κρυψίνους.

ab-strŭo, xi, ctum, ĕre, ἀποσκευάζω ἀποκρύπτω.

†**bstrūse**, ἐπίῤ. (abstrudo) ἀποκεκρυμμένως, κρυφίως.

†**abstrūsio**, iōnis, θ. ἀπόκρυψις,

abstrūsus, ἴδ. abstrudo.

abstŭlo, ἀρχαϊκῶς ἀντὶ τοῦ aufero, (ἀμφ. γρ.]

***absuētūdo**, ĭnis, θ. (ab-suesco) ἀήθεια, (ἀπεθισμός).

prōdĭtĭo, ōnis, θ. (prodeo) τὸ προφαίνεσθαι, ἀναφαίνεσθαι. Λ. τοῦ μετγ. Λατ.

prōdĭtor, ōris, ἀ. (prodo) προδότης. 2) ὁ ἐξαγγέλλων, δηλῶν, ἐξαγγείλας, δηλώσας τι.

prōdĭtrix, īcis, θ. (prodo) προδότις. 2) ἡ ἐξαγγέλλουσα. Λ. τοῦ μετγ. Λατ.

prōdĭtus, a, um, ἴδ. prodo.

prō-do, ĭdi, ĭtum, ĕre, aliquid, προφέρω, ἐκφέρω τι. vinum, ἐκφέρειν οἶνον (ἐκ τῆς ἀποθήκης). suspiria, προΐεσθαι στενάγματα, ἀναστένειν. parvā proditus patria, ἐκ μικρᾶς πατρίδος γεγονώς, μικρᾶς πατρίδος ἔκγονος. 2) ἐκφέρω, ἐξαγγέλλω, δηλῶ τι. arcanum, ἐκφέρειν, ἐξαγγέλλειν τὰ ἀπόῤῥητα. conscios, ἐξαγγέλλειν, δηλοῦν τοὺς συνειδότας. diem, τάττειν, ὁρίζειν ἡμέραν. exemplum, παράδειγμα παρέχειν. 3) παραδίδωμί τι. aliquid memoriae, παραδιδόναι τι τῇ μνήμῃ, τοῖς ἐπιγιγνομένοις. ut produnt, ὡς παραδίδοται, ὡς ἡ φήμη παραδίδοται. 4) παραδίδωμι, καταλείπω τι. sacra posteris, ἱερὰ τοῖς ἐπιγιγνομένοις παραδιδόναι εἴτε καταλείπειν. a majoribus proditus, ἀπὸ τῶν προγόνων παραδεδομένος, παρὰ τῶν πατέρων παραδόσιμος. genus prodere, γένος καταλείπειν. 5) ἀναγορεύω, ἀποδείκνυμι, αἱροῦμαί τινα. interregem, flaminem, μεσοβασιλέα, ἱερέα. 6) προδίδωμι, προΐεμαί τινα ἤ τι. patriam, τὴν πατρίδα. classem praedonibus, τὸν στόλον τοῖς πειραταῖς. officium, παριέναι (παρίημι) τὸ καθῆκον. 7) ὑπερτίθεμαι, ἀναβάλλομαί τι. diem nuptiis, τὴν ἡμέραν τῶν γάμων.

*prō-dŏcĕo, ēre, aliquid, προδιδάσκω, ὑπαγορεύω τι.

prō-dormĭo, ire, διατελῶ καθεύδων.

prodrŏmus, i, ἀ. πρόδρομος. 2) πρόδρομος, ὑπον. ἄνεμος. 3) prodromi, θ. πληθ. (ὑπον. ficus) τὰ πρόδρομα, εἶδος πρωΐμων σύκων.

prō-dūco, xi, ctum, ĕre, aliquem ἢ aliquid, προάγω, ἐξάγω τινα, ἤ τι. exercitum castris in aciem, προάγειν, ἐξά-

Digitized by Google

γειν τὸν στρατὸν ἐκ τοῦ στρατοπέδου εἰς παράταξιν. testem, παρίστασθαι, παρέχεσθαι μάρτυρα. aliquem, e carcere, προάγειν, ἐξάγειν τινὰ ἐκ τοῦ δεσμωτηρίου. aliquem in concionem, προάγειν, παράγειν τινὰ εἰς τὴν ἐκκλησίαν. aliquem dolo in proelium, δόλῳ προάγειν τινὰ εἰς μάχην. aliquam, προαγωγεύειν γυναῖκα. 2) ἐκφέρω, φύω, γεννῶ. partum, ἐκφέρειν τὸ κύημα. aliquem, γεννᾶν τινα. arbor producit folia, τὸ δένδρον φύλλα φύει. cibus carnem producit, ἡ τροφὴ σάρκα ποιεῖ. 3) μετφ. occulta crimina producere, τὰ κρυπτὰ ἁμαρτήματα ἐκφέρειν, δηλοῦν, εἰς φῶς προάγειν. 4) προάγω, προβιβάζω τινά. ad dignitatem, εἰς τιμήν. 5) aliquem, ἐκτρέφω, ἀνατρέφω τινά. 6) ἐκτείνω, ἀποτείνω, μηκύνω τι. ferrum, προκρούειν, ἐξελαύνειν, ἐλαύνειν σίδηρον. lineam, ἕλκειν, ἄγειν γραμμήν. sermonem, ἐκτείνειν λόγους. syllabam, ἐκτείνειν συλλαβήν. syllaba producta, μακρὰ συλλαβή. digitus productior, δάκτυλος μακρότερος. nomen productum, ὄνομα ἐπεκτεταμένον. 7) παρέλκω, ἀναβάλλομαι, ὑπερτίθεμαί τι. aliquem, παρατείνειν τινά. aliquem spe, ἐλπίδι παράγειν, ἐξαπατᾶν τινα. 8) ποιητικῶς· διάγω. diem, τὴν ἡμέραν. 9) aliquem, προπέμπω τινά. 10) aliquid alicui, προτείνω, προπετάννυμί τί τινος. nubila Phoebo, νεφέλας τοῦ ἡλίου. murum, πρόσθεν παρατείνειν εἴτε ἐλαύνειν τοῖχον. scamnum lecto, τίθημι ὑποπόδιον πρόσθεν τῆς κλίνης. 11) producere scelus, διαπράττειν κακούργημα Κικέρων. 12) παρὰ τοῖς φιλοσόφοις· producta, οὐ. πληθ. τὰ προηγμένα. Ἴδε καὶ promoveo ἐν τέλει.

prōducte, ἐπίῤ. ἐκτεταμένως.

†prōductĭlis, e, ταὐτὸ τῷ ductilis.

prōductĭo, ōnis, θ. (produco) ἔκτασις, μηκυσμὸς (φωνηέντων). 2) παρέλκυσις, ὑπέρθεσις, ἀναβολή.

prōductus, a, um, ἴδ. produco.

†prōdux, ūcis, ἀ. (produco) μόσχευμα.

proebĭa, ταὐτὸ τῷ praebia.

proelĭālis, e, ταὐτὸ τῷ proeliaris.

proelĭāris, e, (proelium) τῆς συμπλοκῆς. pugna proeliaris, ἡ συμπλοκή, παράταξις. 2) μάχιμος, φιλόμαχος. 3) dies proeliares εἴτε proeliares, αἱ ἡμέραι, ἐν αἷς ἔξεστι μάχην συνάψαι.

proelĭātĭo, ōnis, θ. μάχη. Λ. τοῦ μετγν. Λατ.

proelĭātor, ōris, ἀ. (proelior) μαχητής.

proelĭo, are, ἀρχαϊκῶς ἀντὶ τοῦ proelior.

proelĭor, atus sum, ari, συμπλέκομαι, ἀγωνίζομαι, διακινδυνεύω, μάχομαι. cum aliquo, πρός τινα. — παθητ. proeliatum fuit, μάχη ἐγένετο.

proelĭum, i, οὐ. (πρύλις, ἦν δὲ ἡ πρύλις ὄρχησις ἐνόπλιος) συμπλοκή, ἀγών, κίνδυνος, μάχη. diuturnitate pugnae defessi, proelio excedebant, οἱ ἀπειρηκότες τῷ τῆς μάχης χρόνῳ ἀπεχώρουν ἐκ τοῦ ἀγῶνος, ἐκ τοῦ κινδύνου. proelium facere, committere, conserere cum aliquo, συμπλέκεσθαι, συμβάλλειν τινί, μάχην ποιεῖσθαι εἴτε συνάπτειν πρός τινα. proelio decertare, διαγωνίζεσθαι, διαμάχεσθαι. proelium cum Persis, ἡ πρὸς τοὺς Μήδους μάχη. proelio depugnato, ληξάσης τῆς μάχης. proelio cadere, ἐν τῷ κινδύνῳ πίπτειν. ancipiti proelio pugnare, ἀμφιδήριτον μάχην ποιεῖσθαι. 2) σπαν. ἡ μάχη, μονομαχία. 3) μεταφ. proelia ventorum, αἱ τῶν ἀνέμων μάχαι εἴτε συγκρούσεις. proelium taurorum, μάχη ταύρων. proelium voce committere, μάχην ἐν λόγοις ποιεῖσθαι. 4) ποιητ. proelia, οἱ μαχόμενοι, μαχηταί.

Proetĭdes, um, θ. πληθ. αἱ Προιτίδες.

Proetus, i, ἀ. Προῖτος.

†prŏfānātĭo, ōnis, θ. (profano) βεβήλωσις.

†prŏfānātor, ōris, ἀ. (profano) ὁ βεβηλώσας τι.

prŏfāne, ἐπίῤ. βεβήλως.

†prŏfānĭtas, ātis, θ. (profanus) τὸ βέβηλον.

prŏfāno, avi, atum, are, (pro-fanum) aliquid alicui, καθιερῶ, ἀνατίθημί τί τινι. 2) (ἐκ τοῦ profanus) aliquid, βεβηλῶ τι. μεταφ. ἐκλαλεῖν, ἐξαγγέλλειν τι.

prŏfānus, a, um, (pro-fanum) βέβηλος, μὴ ἱερός. 2) βέβηλος, ἀμύητος, ἀτέλεστος. 3) βέβηλος, ἀνόσιος, ἀσεβής, μιαρός. profanum est, ἀνόσιόν ἐστι. profanum, οὐ. ἡ ἀσέβεια. 4) μιαρός.

prŏfāris, profari, ἴδ. profor.

prŏfātum, ἴδ. profor.

prŏfātus, ūs, ἀ. (profor) προφορά, ἐκφώνησις, φθόγγος. Μόνον κατ' ἀφαιρ. τοῦ ἑν.

prŏfectīcĭus, (-tĭus), a, um, (proficiscor) παρά τινος δεδομένος. Λ. νομικῶν.

prŏfectĭo, ōnis, θ. (proficiscor) ἔξοδος. profectionem parare, παρασκευάζεσθαι εἰς τὴν ἔξοδον. ex hibernis profectionem facere, ἐκ τῆς χειμασίας τὴν ἔξοδον εἴτε ὁρμὴν ποιεῖσθαι. 2) πορεία. 3) profectio pecuniae requiritur, ζητεῖται παρὰ τίνος τὸ ἀργύριον ἐδόθη.

prŏfecto, ἐπίῤ. (pro-factum) τῷ ὄντι, ἀληθῶς. ὡς ἀληθῶς, ἀμέλει, δή, ἦ. profecto edepol, ναὶ μὰ Δία, ἦ μήν. 2) δηλαδή, δηλονότι.

prōfectus, a, um, ἴδ. proficiscor.

prōfectus, a, um, ἴδ. proficio,

Digitized by Google

prŏfectus, ūs, ἀ. (proficio) προχώρησις, ὠφέλεια. 2) προκοπή, ἐπίδοσις.
prŏfectus, ūs, ἀ. (proficiscor) ἔξοδος. 2) ἀρχή.
prō-fĕro, tŭli, lātum, ferre, aliquid, ἐκφέρω, ἐξαιρῶ τι. pecuniam ex arca, ἐξαιρεῖν ἀργύριον ἐκ θήκης. manum, linguam, ἐξαίρειν χεῖρα, γλῶσσαν. se proferre, προφαίνεσθαι. aliquid in lucem, in medium, ἐκφέρειν, προάγειν τι εἰς τὸ φῶς, προφέρειν τι εἰς τὸ μέσον. artem, ἐξευρίσκειν, ἀποφαίνειν τέχνην. rumor de te prolatus, ὁ περὶ σοῦ ἐξενεχθεὶς λόγος, ἡ περὶ σοῦ διαδοθεῖσα φήμη. 2) aliquid alicui, προφέρω, προτείνω, δίδωμί τινί τι. 3) προφέρω, φθέγγομαί τι. syllabam, συλλαβήν. verum, προφέρειν, προφέρεσθαι, λέγειν ἀληθές τι. testimonia, προφέρειν, προφέρεσθαι, ἐπάγεσθαι τεκμήρια. 4) ἐκφέρω, φέρω, φύω τι. laurum, δάφνην. semen, σπόρον ποιεῖν. 5) προάγω, προβιβάζω τι. pedem, προβαίνειν τὸν πόδα εἴτε τῷ ποδί. profero vitam beatam usque ad rogum, διάγω εὐδαίμονα βίον μέχρι τῆς τελευτῆς. 6) προάγω, μηκύνω, ἐκτείνω τι. pomoerium, αὐξάνειν κύκλον πόλεως ἢ ὅρια. 7) μηκύνω, παρέλκω, ἀναβάλλομαι, ὑπερτίθεμαί τι. diem, ἀναβάλλομαι τὴν ἡμέραν. rem in diem posterum, ὑπερτίθεμαί τι εἰς τὴν ὑστεραίαν.
prŏfessĭo, ōnis, θ. (profiteor) ὁμολογία, ἐπαγγελία, ὑπόσχεσις. memor professionis, μεμνημένος τῆς ὑποσχέσεως. 2) δήλωσις, ἐξομολόγησις. opinionis, δήλωσις, ἀπόφανσις γνώμης. pecuniae, δήλωσις, ἐξομολόγησις χρημάτων. 3) ἀπογραφὴ οὐσίας. 4) τεκμήριον, σημεῖον. 5) ἐπάγγελμα, τέχνη, ἐπιστήμη.
prŏfessor, ōris, ἀ. (profiteor) ὁ ἐπαγγελλόμενος τέχνην ἢ ἐπιστήμην τινά, σοφιστής, διδάσκαλος, καθηγητής.
prŏfessōrĭus, a, um, σοφιστικός, διδασκαλικός.
prŏfessus, a, um, ἴδ. profiteor.
prŏfestus, a, um, (pro-festus) ἀνέορτος, μὴ ἑόρτιος. 2) βέβηλος, ἀμύητος.
†prōfĭcĭenter, ἐπίῤ. (proficio) μετὰ προκοπῆς.
prōfĭcĭo, ēci, ectum, ĕre, (pro-facio) προβαίνω, προχωρῶ. 2) προβαίνω, προκόπτω, ἐπιδίδωμι. in philosophia, προκόπτειν ἐν τῇ φιλοσοφίᾳ, ἐπιδιδόναι πρὸς φιλοσοφίαν. vitis humore proficit, ἡ ἄμπελος τῷ ὑγρῷ ἐπίδοσιν λαμβάνει. nihil proficit, οὐδὲν προκόπτει, οὐδὲν περαίνει. nihil proficere in oppugnatione, οὐδὲν προκόπτειν εἴτε περαίνειν πρὸς τὴν πολιορκίαν. 3) ὠφελεῖν, λυσιτελεῖν, συμφέρειν. verba non proficientia, ῥήματα ἀλυσιτελῆ, ἀνωφελῆ, μάταια, ἄπρακτα. aliquid in febribus proficit, λυσιτελεῖ τι ἐν πυρετοῖς, ἐπικουρεῖ τοῖς πυρετοῖς. Οὕτω καὶ μετὰ τῶν προθέσεων ad καὶ in μετ' αἰτιατικῆς.
prŏfĭcisco, ĕre, ἀρχαϊκῶς ἀντὶ τοῦ proficiscor.
prŏfĭciscor, fectus sum, i, (pro-facio) ἐξέρχομαι, ἀπέρχομαι, ὁρμῶ, ὁρμῶμαι. ad dormiendum, ἄπειμι, ἀπέρχομαι καθευδήσων. domo, ἐξέρχομαι τῆς οἰκίας. portu, ὁρμᾶσθαι ἐκ λιμένος, ἀνάγειν. e castris, ὁρμᾷν, ὁρμᾶσθαι, ἐξορμᾷν ἐκ στρατοπέδου. ad bellum, ἐξιέναι, ὁρμᾷν, ὁρμᾶσθαι ἐπὶ τὸν πόλεμον. ille Idibus a me profectus est, ἐκεῖνος ταῖς εἰδοῖς παρ' ἐμοῦ ὡρμήθη, ἀπῆλθεν. Athenis proficisci, ὁρμᾶσθαι ἐξ Ἀθηνῶν. ad idem, unde profecta sunt, astra redeunt, εἰς τὸ αὐτό, ὅθεν ὡρμήθησαν τὰ ἄστρα ἐπανέρχεται. Trojā profectus, ἐκ Τροίας ὁρμηθείς. μεταφ. inde oratio proficiscitur, ἐκεῖθεν ὁ λόγος ὁρμᾷ, ὁρμᾶται, ἄρχεται. venæ a corde profectae, φλέβες ἐκ τῆς καρδίας ἐξερχόμεναι, ἀρχόμεναι. omnes ab Aristotele profecti, ἅπαντες οἱ Ἀριστοτέλους διάδοχοι εἴτε μαθηταί. genus a Pallante profectum, γένος ἐκ Πάλλαντος γεγονός. ea proficiscuntur a natura, ταῦτα ἐκ τῆς φύσεως γίγνεται εἴτε γεννᾶται. omnia, quae a me profecta sunt in te, ὅσα σοι παρ' ἐμοῦ ἐγένετο. 2) ὁρμῶ, ὁρμῶμαι, πορεύομαι. Romam, εἰς Ῥώμην. domum, οἴκαδε. subsidio Lacedaemoniis, πορεύομαι ἐπικουρήσων Λακεδαιμονίοις. μεταφ. proficiscor ad reliqua, πρόειμι, προβαίνω (τῷ λόγῳ) πρὸς τὰ λοιπά.
prŏfĭcŭus, a, um, (proficio) ὠφέλιμος, λυσιτελής. Λ. τοῦ μετγν. Λατ.
prō-fīlĭus, ii, ἀ. ἔκγονος ἢ ἀπόγονος. Ἐπιγρ.
prōfindo, ĕre, aliquid, διασχίζω, σχίζω τι. Ἀμφ. γρ. Στάτιος.
prŏfĭtĕor, fessus sum, ērī, (pro-fateor) aliquid, ἐξομολογῶ, ὁμολογῶ τι. 2) ἐπαγγέλλω, δηλῶ, μηνύω τι. vultus dolorem profitetur, τὸ πρόσωπον δηλοῖ, μηνύει τὴν λύπην. indicium profiteri, ἐπαγγέλλειν, δηλοῦν, μηνύειν τὸ γενόμενον greges ad publicanum, ἀπογράφεσθαι τὰς ἀγέλας παρὰ τῷ δημοσιώνῃ, δηλοῦν τὰς ἀγέλας τῷ δημοσιώνῃ. profiteri nomen καὶ ἁπλῶς profiteri, ἐπαγγέλλεσθαι, παραγγέλλειν, ζητεῖν ἀρχήν, καί· ἀπογράφεσθαι εἰς τοὺς στρατιώτας. 3) ὁμολογῶ, ἐπαγγέλλομαι, ὑπισχνοῦμαί τι. me facturum esse,

Digitized by Google

ποιήσειν. amicum (ὑπον. me esse), ὁμολογῶ φίλος εἶναι. magna professus, μεγάλα ὑποσχόμενος, ἐπαγγειλάμενος. 4) ἐπαγγέλλομαι, διδάσκω τι (ἐπιστήμην ἢ τέχνην). philosophiam, ἐπαγγέλλομαι φιλοσοφίαν. profiteor ἁπλῶς· διδάσκαλος εἴτε σοφιστής εἰμι. — professus, a, um, παθητικῶς· ὁμολογηθείς. dux professus, στρατηγὸς ἀποδειχθείς. — ex professo, ἐξ ἐπίτηδες, ἀναφανδόν.

prŏflāmen, ĭnis, ἀ. ἱερεὺς ὁ τόπον ἐπέχων φλαμέντου. Ἐπιγρ.

prŏflātus, ūs, ἀ. (proflo) πνοή, πνεῦμα, φύσημα.

prŏflātus, a, um, ἴδ. proflo.

prŏflictus, a, um, (pro-fligo) καταβεβλημένος.

prŏflīgātĭo, ōnis, θ. (profligo) σπατάλη. Λ. τοῦ μετγν. Λατ.

prŏflīgātor, ōris, ἀ. (profligo) σπαταλός, ἄσωτος. 2) ἀφανιστής, ἐξολοθρευτής.

prŏflīgātus, a, um, ἴδ. profligo.

prō-flīgo, avi, atum, are, aliquem, καταβάλλω τινά. copias hostium, καταβάλλειν, καταγωνίζεσθαι πολεμίων δυνάμεις. rempublicam, καταλύειν, ἀνατρέπειν τὴν πολιτείαν. moerore profligatus, ὑπὸ λύπης καταβεβλημένος. 2) προκόπτω, προβιβάζω, προάγω τι. bellum profligatum, ὁ προβεβηκὼς πόλεμος. quaestio profligata est, ἡ ζήτησις προκοπὴν ἔλαβεν. homo aetatis profligatae, ἄνθρωπος προβεβηκὼς τῇ ἡλικίᾳ. 3) ἔσθ' ὅτε· ἀποτελῶ, κατεργάζομαι, ἀνύτω, περαίνω, ἐπὶ τέλος ἄγω τι. — profligatus, a, um, διεφθαρμένος, ἄσωτος, ἐξώλης.

*prō-flīgo, xi, ctum, ĕre, νικῶ, καταβάλλω. Κολουμέλλας.

prō-flo, avi, atum, are, aliquid, ἐκπνέω, ἐκφυσῶ τι. flammas, φλόγας. iram, πνεῖν ὀργήν. 2) nares, φυσᾶν, εὐρύνειν τοὺς μυκτῆρας. 3) ἐπὶ μετάλλων· χωνεύειν τι. proflatum, i, οὐ. ἀποφύσημα. Πλίνιος.

prŏflŭenter, ἐπίῤ. ἀφθόνως. 2) μετ' εὐροίας, (τοῦ λόγου).

*prŏflŭentĭa, æ, θ. (profluo) εὔροια.

prō-flŭo, xi, xum, ĕre, προῤῥέω, προχέομαι. fluvius ex monte profluit, ποταμὸς ἐξ ὄρους ῥέει εἴτε φέρεται. sudor profluens, καταῤῥέων ἱδρώς. in mare profluere, εἰς τὴν θάλασσαν προχεῖσθαι, ῥεῖν. aqua profluens καὶ ἁπλῶς profluens, ῥέον ὕδωρ, ποταμός. μεταφ. cujus ore sermo melle dulcior profluebat, «τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.» ad incognitas artes profluere, ἐπὶ ἀγνώστους τέχνας ἑαυτὸν προϊέναι, εἰς ἀγνώστους τέχνας ἐξολισθαίνειν, ἐξοκέλλειν, φέρεσθαι. — profluens genus orationis, εὔρουν λόγου γένος. profluens quiddam, εὔροιά τις.

prŏflŭus, a, um, (profluo) προῤῥέων, προχεόμενος.

prŏflŭvĭum, ii, οὐ. (profluo) τὸ προῤῥέειν, πρόχυσις, καταῤῥοή. profluvium mulierum, εἴτε genitale, τὰ ἐμμήνια. geniturae, ἡ γονόῤῥοια.

prŏflŭvĭus, a, um, (profluo) ἐξίτηλος, ἀσταθής. 2) profluvius, ἀ. ταὐτὸ τῷ profluvium.

prŏ-for, atus sum, ari, ἀποφθέγγομαι, ἐξειπεῖν. vera, ἀληθῆ. sic profatus, ταῦτα εἰπών. παθητικῶς· sunt a me multa profata, εἴρηταί μοι πολλά. profatum, οὐ. ἀξίωμα, ἀπόφθεγμα. 2) προλέγω, π ρ ο φ η τ ε ύ ω, μαντεύομαι. diem, προειπεῖν τὴν ἡμέραν. Σημ. τὸ ἀ. πρόσ. profor, ὡς καὶ τὸ profer κ.τ.λ. οὐ δοκεῖ εὔχρηστα εἶναι.

profringo, ĕre, (pro-frango) θραύω. Στάτιος.

prŏ-fŭgio, ūgi, ĭtum, ĕre, προφεύγω, ἐκφεύγω, διαφεύγω. ex oppido, ἐκ τῆς πόλεως. a domino, δραπετεύειν ἐκ τοῦ δεσπότου. e carcere, ἀποδιδράσκειν ἐκ τοῦ δεσμωτηρίου. in Britanniam, ἐκφεύγειν εἰς τὴν Βρεταννίαν. ad aliquem, καταφεύγειν πρός τινα. 2) aliquid, προφεύγω, ἐκφεύγω, διαφεύγω, ἀποφεύγω τι. conspectum, civium, ἀποφεύγειν τὴν ὄψιν τῶν πολιτῶν. dominum, ἀποδιδράσκειν, ἀποφεύγειν τὸν δεσπότην.

prŏfŭgĭum, ii, οὐ. (profugio) καταφυγή. Ἀμφ. γρ.

prŏfŭgus, a, um, (profugio) προφυγών. ἐκφυγών. domo, οἴκοθεν. e proelio, ἀποδρὰς ἐκ τῆς μάχης. vinculorum, ἐκ τῶν δεσμῶν. regni, ἐκπεσὼν τῆς βασιλείας. profugus patriā, ἐκπεσὼν ἐκ τῆς πατρίδος. profugus, ἀ. ὁ ἐκπεσών, φεύγων, φυγάς. ποιητ. profugus Scytha, ὁ πλανώμενος Σκύθης.

prŏfunde, ἐπίῤ. βαθέως.

prŏfundĭtas, ātis, θ. (profundus) βάθος (κυρ. καὶ μεταφορ.) Λ. τοῦ μετγν. Λατ.

prŏ-fundo, fūdi, fūsum, ĕre, aliquid, προχέω, ἐκχέω τι. vinum, οἶνον. lacrimas, δάκρυα. Nilus ex lacu profusus, ὁ Νεῖλος ἐκ λίμνης προχεόμενος, προῤῥέων. lacrimae se profundunt, δάκρυα προχεῖται, ἐκχεῖται, προῤῥεῖ. 2) μεταφ. multitudo sagittarum se profundit, πλῆθος βελῶν προχεῖται, ἐκχεῖται. spiritum in acie profundere, ἐν μάχῃ ἐκπνεῖν. vocem profundere, φωνὴν προϊε-

Digitized by Google

σθαι, προχεῖν. se in questus profundere, ἐκχεῖσθαι εἰς ὀδυρμούς, προϊέναι ἑαυτὸν ἐπὶ ὀδυρμούς. urbe se profundunt, ἐκ τῆς πόλεως προχέονται, ἐκχέονται, ἀθρόοι ἐκπίπτουσι. cauda profusa usque ad calces, οὐρὰ καταχεομένη μέχρι τῆς πτέρνης. profundere patrimonia, ἐκχεῖν, προΐεσθαι τὰ πατρῷα. non modo pecuniam sed etiam vitam profundo pro patria, οὐ μόνον τὰ χρήματα, ἀλλὰ καὶ τὸν βίον προΐεμαι ὑπὲρ τῆς πατρίδος. somnus membra profundit, ὕπνος λύει, ἐκτείνει ἢ καταβάλλει τὰ μέλη. — profusus, a, um, ἐκκεχυμένος, ἐκτεταμένος, εὐρύς 2) ἐκκεχυμένος, ἐκχυτός, ἀκόλαστος, ἀνειμένος 3) προετικός, ἄσωτος, ἀφειδής. sui, ἀφειδὴς τῶν ἰδίων, προϊέμενος τὰ ἑαυτοῦ.

prŏfundus, a, um, (pro-fundus) μέγα βάθος ἔχων, βαθύς, profundum mare, τὸ ἀχανὲς πέλαγος, ἡ βαθεῖα θάλασσα. profundum terrae foramen, βαθὺ ῥῆγμα γῆς. vallis profunda, νάπη βαθεῖα, κοίλη. profunda nox, βαθεῖα νύξ. profundus villus, βαθεῖα, δασεῖα, πυκνὴ θρίξ. profunda silva, βαθεῖα, πυκνή, δασεῖα ὕλη. ποιητ. profundo ruit ore, ἐκ βαθείας πηγῆς προχεῖται. in profundum miseriarum abjectus, εἰς μεγίστην ταλαιπωρίαν ἐμπεσών. profunda pax, βαθεῖα εἰρήνη. labor profundus, πόνος χαλεπός, ὑπερβάλλων somnus profundus, βαθύτατος, βαθὺς ὕπνος. libidines profundae, ἄπειροι, ἀπέραντοι ἡδοναί. profundus amor, δεινὸς ἔρως. profundum, οὐ. ὁ βυθός, τὸ βάθος, ἐνίοτε καὶ ἡ ἀχανὴς θάλασσα, τὸ πέλαγος, ἡ ἀχανὴς εἴτε βαθεῖα λίμνη 2) σπάν. βαθύς, ὑψηλός. coelum, οὐρανός 3) βύθιος, καταχθόνιος. Iupiter profundus, ὁ καταχθόνιος Ζεύς, ὁ Πλούτων.

prŏfūse, ἐπίρ. ἐκκεχυμένως, χύδην. 2) προετικῶς, ἀφειδῶς.

prŏfūsĭo, ōnis, θ. (profundo) πρόχυσις, ἔκχυσις. 2) alvi, ἡ διάῤῥοια. 3) πρόεσις, δαπάνη, σπατάλη. 4) ἐν Ἐπιγρ. profusiones, αἱ χοαί, αἱ σπονδαί.

†prŏfūsor, oris, ἀ. (profundo) ὁ προϊέμενος, σπαταλός, ἄσωτος.

prŏfūsus, a, um, ἴδ. profundo.

prō-gemino, are, ὀφθαλμοὺς ποιῶ εἴτε φύω

prō-gĕner, ĕri, ὁ ἀνὴρ ἐγγόνης.

prōgĕnĕrātĭo, ōnis, θ. (progenero) γέννησις, γένεσις.

prō-gĕnĕro, are, aliquem, γεννῶ τινα.

prōgĕnĭes, ēi, θ. (progigno) γένεσις, γενεά, γένος, αἷμα. 2) γενεά, γόνος, ἔκγονος, ἔκγονοι (τέκνα, ἔγγονοι, ἀπόγονοι). se deorum progeniem esse dicebat, θεῶν ἔκγονος εἶναι ἔλεγε. progenies Iovis, τέκνον Διός. Claudia mea progenies, Κλαυδία ἡ ἐμὴ ἔκγονος, ἡ ἐμὴ ἐγγόνη, κ.τ.τ. 3) ἐπὶ ζῴων καὶ φυτῶν· ὁ γόνος, τὸ γέννημα.

prōgĕnĭtor, ōris, ἀ. (progigno) προπάτωρ, πρόγονος, ἀρχηγέτης τοῦ γένους.

prōgĕnĭtrix, īcis, θ. προμήτωρ.

prōgĕnĭtus, a, um, ἴδ. progigno.

prō-germĭno, are, * ἐκβλαστάνω.

prō-gĕro, essi, estum, ĕre, aliquid, ἐκφέρω τι. ova ᾠὰ τίκτειν. 2) ἐκφέρω, ἐξαιρῶ τι. 3) προφέρω, λέγω τι. 4) ἐκφέρω τινὰ (νεκρόν).

prō-gesto, are, aliquid, προκομίζω τι.

prō-gigno, gĕnŭi, gĕnĭtum, ĕre, aliquem ἢ aliquid, γεννῶ τινα ἢ τι.

prōgnārĭter, ἐπίρ. (pro-gnarus) εἰδημόνως, διαῤῥήδην. Διάφ. γρ. prognaviter.

prōgnātĭo, ōnis, θ. (prognatus) γέννησις, γένεσις. Λ. τοῦ μετγν. Λατ.

prōgnātus, a, um, (pro-natus) γεννηθείς, πεφυκώς, γεγονώς, deo, θεοῦ εἴτε ἐκ θεοῦ πεφυκώς, γεγονώς. patre Moscho, πατρὸς γενόμενος Μόσχου. semet prognatos, τοὺς ἐξ αὐτῶν γεγονότας τὰ ἑαυτῶν τέκνα. arundines in palude prognatae, κάλαμοι πεφυκότες εἴτε φυόμενοι ἐν λίμνῃ. 3) ἔκγονος. Tantalo, τοῦ Ταντάλου. ex Cimbris, τῶν Κίμβρων.

Progne, ταὐτὸ τῷ Procne.

prŏgnostĭcum, (-on), i, οὐ. προγνωστικόν.

prŏgramma, ătis, οὐ. πρόγραμμα.

prōgrĕdĭor, essus sum, i, (pro-gradior) προβαίνω, πρόειμι, προέρχομαι, προχωρῶ, πρόσω εἶμι. tridui viam progressus, τριῶν ἡμερῶν ὁδὸν προελθών. intra teli jactum, προϊέναι ἐντὸς τοξεύματος. eo amentiae progressus est, εἰς τοῦτο ἀνοίας ἦλθε. progrediente ætate, προϊούσης τῆς ἡλικίας. ætate progressus, τῇ ἡλικίᾳ προβεβηκὼς εἴτε προεληλυθώς. progredi longius, ποῤῥωτέρω προϊέναι (τῷ λόγῳ). in virtute, προκόπτειν ἐν ἀρετῇ, εἰς ἀρετήν. 2) πρόειμι, (προϊέναι) προέρχομαι, ἔξειμι, (ἐξιέναι) ἐξέρχομαι, domo, ἐκ τῆς οἰκίας in publicum. παριέναι, προέρχεσθαι εἰς τὸ φανερόν. in bellum, ἐξιέναι, ἐξορμᾶν, ὁρμᾶν, ὁρμᾶσθαι ἐπὶ πόλεμον. 3) εἶμι, ἰέναι. alicui obviam, ἀπαντᾶν τινι.

prōgressĭo, ōnis, θ. (progredior) πρόβασις, προκοπή, ἐπίδοσις, facere progressionem ad virtutem, πρὸς εἴτε ἐπὶ τὴν ἀρετὴν προκόπτειν εἴτε ἐπιδιδόναι. 2) ἐν τῇ ῥητορικῇ· ἡ κλίμαξ.

prōgressor, ōris, θ. (progredior) ὁ προβαίνων. Λ. τοῦ μετγν. Λατ.

Digitized by Google

prōgressus, a, um, ἴδ. progredior.
prōgressus, ūs, ἀ. (progredior) τὸ προβαίνειν, πρόβασις, προχώρησις, πρόοδος. μεταφ. ἡ προκοπή, ἐπίδοσις. 2) προΰπαρξις.
prōgŭbernātor, ōris, ἀ. (ἀντικυβερνήτης).
prōgymnastes, æ, ἀ. προγυμναστής.
proh! ταὐτὸ τῷ pro, ἐπιφών.
prŏhĭbĕo, ŭi, ĭtum, ēre, (pro-habeo) aliquem aliqua re καὶ ab aliqua re, ἀπείργω τινά τινος εἴτε ἀπό τινος, κωλύω τινά τινος. exercitum itinere, κωλύειν τὸν στρατὸν τῆς πορείας. bovem potione, εἴργειν τὸν βοῦν τοῦ ὕδατος, ἀπὸ τοῦ ὕδατος, τοῦ πιεῖν. agros populationibus ἀντὶ populationes agris, ἀπείργειν λεηλασίας ἀγρῶν. se ab injuria, ἀπέχεσθαι ἀδικίας. aliquem exire domo, κωλύω τινὰ ἐξέρχεσθαι, τοῦ ἐξέρχεσθαι, μὴ ἐξέρχεσθαι τῆς οἰκίας. aliquem mori, οὐκ ἐῶ τινα ἀποθανεῖν. prohibeo ne fiat, εἴτε quominus fiat, οὐκ ἐῶ γενέσθαι. dii prohibeant! μὴ γένοιτο! prohibere aliquem alicujus rei, ποιητικῶς ἀντὶ aliqua re, κωλύειν τινά τινος. Σημ. prohibesso, is, it, ἀρχαϊκῶς ἀντὶ prohibeam καὶ prohibuerim κ.τ.λ.
prŏhĭbĭtĭo, ōnis, θ. (prohibeo) κώλυσις. Λ. σπαν.
prŏhĭbĭtor, ōris, ἀ. (prohibeo) κωλυτής. Λ. τοῦ μετγν. Λατ.
prohĭbĭtorĭus, a, um, (prohibitor) κωλυτήριος, κωλυτικός.
prŏhĭbĭtus, a, um, ἴδ. prohibeo
prŏhinc, (pro-hinc) διό.
prŏin, ταὐτὸ τῷ proinde.
prŏinde, εἴτε proinde δισσυλλ. (pro-inde) διό, διὰ ταῦτα, ὅθεν. 2) ὁμοίως, κατὰ ταὐτά. proinde ac merere, καθάπερ ἄξιος εἶ. proinde ac si, quasi, atque, ut, ὥσπερ εἰ, ὥσπερ ἄν, ὥσπερ ἂν εἰ. proinde ac si solerent, ὥσπερ ἂν εἰ εἰθισμένοι ἦσαν. proinde quasi per se ipsa clara sint, ὥσπερ εἰ ταῦτα καθ' ἑαυτὰ ἔνδοξα εἴη. non proinde quia natus est, quam pro eo, quod eum nasci contigit temporibus vitae tuae, οὐχ οὕτως ἐπὶ τῇ γενέσει τοῦ παιδός, ὡς ἐπὶ τῷ κατὰ τὴν σὴν ἡλικίαν αὐτὸν γεγονέναι.
projecte ἐπίρ. ὀλιγώρως.
prōjectĭcĭus, (-tĭus), a, um, ἔκθετος, ἐκβολιμαῖος.
prōjectĭo, onis, θ. (projicio) προβολή, ἔκτασις 2) προβολὴ οἰκοδομήματος.
prōjecto, are, (θαμιστ τοῦ projicio) ῥίπτω. 2) προπηλακίζω τινά, καταφρονῶ τινος.
prōjectōrĭus, a, um, (projicio) ἐκκριτικός. Λ. ἰατρική.
prōjectūra, æ, θ. (projicio) προβολή. Παρὰ Βιτρουβίῳ 3, 5, projectura quam Graeci vocant ἐκφοράν.
projectus, a, um, ἴδ. projicio.
projectus, ūs, ἀ. (projicio) προβολή. Μόνον κατ' ἀφαιρ. τοῦ ἑν. εὕρηται.
prōjĭcio, ēci, ectum, ĕre, (pro-jacio) aliquid alicui, προβάλλω, παραβάλλω τί τινι. alicui panem, παραβάλλειν τινὶ ἄρτον. ante simulacrum projectus, τῷ ἀγάλματι προσπεσών. 2) projicere hastam, scutum, προβάλλεσθαι δόρυ, ἀσπίδα. 3) προβάλλω, προτείνω τι. brachium projectum, βραχίων προβεβλημένος, προτεταμένος. projicere linguam, ἐξαίρειν τὴν γλῶσσαν. saxa projecta, πέτραι προκύπτουσαι, προέχουσαι, προβλῆτες. venter projectior, κοιλία προπίπτουσα. Συγκεχριμένως· projectum, οὐ. ἡ προβολή, τὸ προεχὲς τῆς οἰκιας μέρος. projicere pedem, προτείνειν, προβαίνειν τὸν πόδα, προβαίνειν τῷ ποδί. μετφ projectus ad libidinem, προπετὴς πρὸς ἡδονήν. projecta libido, προέχουσα, ἐξέχουσα, ὑπερβάλλουσα τόλμη. 4) ἐκβάλλω τινὰ ἤ τι. ab urbe, τῆς πόλεως, ἐκ τῆς πόλεως. projectus ab undis nauta, ναύτης ὑπὸ τῶν κυμάτων ἐκπεσὼν εἴτε ἐξοκείλας εἰς τὴν γῆν. projectus, ἀ. ὁ ἐκβληθείς, ἐκπεσών, φυγάς. projicere aliquem in insulam, ἐκβάλλειν, ἐκτοπίζειν τινὰ εἰς νῆσον. projicere puerum, ἐκτιθέναι παῖδα. 5) ῥίπτω τι. arma, ῥίπτειν τὰ ὅπλα. aliquid in ignem, ῥίπτειν τι εἰς τὸ πῦρ. se ex navi, ῥιπτεῖν, ῥίπτειν ἑαυτὸν ἐκ τῆς νεώς. se in forum, τρέχειν εἰς τὴν ἀγοράν. se ad pedes alicujus, προσπίπτειν τινί. cadavera projecta, νεκροὶ ἐῤῥιμμένοι. projicere vultus, καταβάλλειν τοὺς ὀφθαλμούς. verba, ῥίπτειν λόγον. in miserias projici, ταλαιπωρίᾳ περιπίπτειν. lacrimas projicere, προχεῖν, ἐκχεῖν δάκρυα. 6) ἀποβάλλω τινὰ ἤ τι, καταφρονῶ τινος. se projicere, ἀποβάλλειν, ταπεινοῦν ἑαυτόν. projectus, φαῦλος, ταπεινός. 7) σπαν. ἀναβάλλεσθαι, ὑπερτίθεσθαί τι.
pro-labor, psus, sum, i, πρόσω ὀλισθαίνω, μετφ longius prolabi, εἰς μακρότερον λόγον ἐξοκέλλειν. 2) παρολισθαίνω, κατολισθαίνω, καταπίπτω. ex equo, ἀπὸ τοῦ ἵππου καταπίπτειν, καταῤῥεῖν. in foramen, εἰς τρῆμα καταπίπτειν prolapsa Pergama, τὰ πεπτωκότα, καταπεπτωκότα, καταῤῥυέντα Πέργαμα. 3) ἐξολισθαίνω, ἐξοκέλλω, καταφέρομαι. in aliquod dedecus, εἰς αἰσχρόν τι καταπίπτειν, καταφέρεσθαι. prolapsa est juventus, ἐξώκειλεν ἡ νεολαία. in mi-

Digitized by Google

sericordiam, προάγεσθαι, καταφέρεσθαι, φέρεσθαι εἰς ἔλεος. cupiditate, ὑπὸ ἐπιθυμίας σφάλλεσθαι.
prōlapsĭo, ōnis, θ. (prolabor) ὀλίσθησις, ὀλίσθημα. 2) κατάπτωσις, ἔρειψις.
prolapsus, a, um, ἴδ. prolabor.
prōlātātĭo, ōnis, θ. (prolato) ἀναβολή, ὑπέρθεσις. Ἀμφ. γρ.
prōlātĭo, ōnis, θ. (profero) προφορά. 2) προαγωγή, αὔξησις, ἔκτασις. 3) παρέλευσις, ἀναβολή, ὑπέρθεσις.
prolato, avi, atum, are, (ἐπιτατ. τοῦ proferre) aliquid, προάγω, εὐρύνω, αὐξάνω τι. 2) μηκύνω, παρέλκω, ἀναβάλλομαι, ὑπερτίθεμαί τι.
†prolātus, us, ἀ. (profero) τὸ προφέρειν, ἐκφέρειν.
prolatus, a, um, ἴδ. profero.
prōlectĭbĭlis, e, (prolicio) θελκτήριος. Ἀμφ. γρ.
prolecto, avi, atum, are, (θαμιστ. τοῦ prolicio) aliquem, ἐπάγομαι, θέλγω, δελεάζω τινά. 2) προκαλοῦμαί τινα.
prō-lēgātus, i, ἀ. ἐν Ἐπιγρ. ὁ ἀντὶ τοῦ legatus, ὅπερ ἴδε.
prōlepsis, is, θ. πρόληψις.
proles, is, θ. (pro-oleo, olesco ἢ alesco) ὁ ἡ ἔκγονος, γόνος, γενεά, (τέκνον, τέκνα, ἔγγονος, ἀπόγονος, κ.τ.τ.) 2) νεολαία, νέοι. 3) ἐπὶ ζώων καὶ φυτῶν· ὁ γόνος. 4) παρὰ νεωτέροις· οἱ ὄρχεις, τὰ αἰδοῖα.
prōlētārĭus, a, um, (proles) χυδαῖος, κοινός. 2) proletarii, ἐκαλοῦντο οἱ τῆς ἕκτης κλάσεως εἴτε συμμορίας τῶν Ῥωμαίων πολιτῶν, οἱ σχεδὸν ἄποροι, καὶ μόνῃ τῇ τεκνογονίᾳ τὴν πόλιν αὔξοντες. Ἴδε Gel. N A, XVI, 10.
*prō-lēvo, are, aliquem, ἐκσώζω τινά.
prō-lībo, are, παρὰ Πλινίῳ ταὐτὸ τῷ libo.
*prō-lĭcĕo, cŭi, ēre, προῤῥέω, προχέομαι.
prōlĭcĭo, ĕre, (pro-lacio) aliquem, ἐπάγομαι, ἐφέλκομαί τινα. aliquid, προκαλεῖσθαι, ἐκκαλεῖσθαί τι.
†prō-līmen, ĭnis, οὐ. ὁ πρὸ τοῦ οὐδοῦ χῶρος.
prolĭquātus, a, um, (liquo) διυλισθείς.
prōlĭquĕo, ταὐτὸ τῷ prolicco.
prōlixe, ἐπίῤ. (prolixus) ἐκτενῶς, δαψιλῶς, ἀφθόνως. 2) ἐκτενῶς, προθύμως, φιλοφρόνως, ἀσμένως.
prolixĭtas, atis, θ. (prolixus) μακρότης, μῆκος. 2) ἀπότασις, τὸ διεξοδικόν.
*prolixĭtūdo, ĭnis, θ. ταὐτὸ τῷ prolixitas.
*prolixo, are, aliquid, ἀποτείνω, μηκύνω τι.
prolixus, a, um, (pro-laxus) ἐκτενής, εὐμήκης, περιμήκης, μακρός. 2) μακρός, διεξοδικός. 3) ἐκτενής, πρόθυμος, φιλόφρων. 4) ἐκτενής, ἄφθονος, δαψιλής. 5) ἐκτενής, σφοδρός. 6) εὐτυχής, καλῶς χωρῶν. cetera prolixa sunt, τὰ λοιπὰ καλῶς χωρεῖ, προχωρεῖ.
prōlŏcutor, ταὐτὸ τῷ proloquutor.
prŏlŏgĭum, i, οὐ. ταὐτὸ τῷ prologus
prŏlŏgus, i, ἀ. πρόλογος. 2) ὁ προλογίζων ἐν τῇ σκηνῇ.
prolongo, are, aliquid, μηκύνω τι. Ἀμφ. γρ.
prōlŏquĭum, i, οὐ. (proloquor) ἀξίωμα, πρότασις.
prō-lŏquor, cūtus, (quūtus) sum, i, aliquid, προλέγω, προειπεῖν, ἀποφθέγγομαι, ἀποφαίνομαι, λέγω τι. 2) προλογίζω. 3) προλέγω, προειπεῖν, μαντεύομαι.
*prōlŏquūtor, ōris, ἀ. (proloquor) ῥήτωρ, συνήγορος.
prōlŭbīdo, ĭnis, θ. ταὐτὸ τῷ prolubium.
prōlŭbĭum, i, οὐ. (pro-lubet) ἐπιθυμία, ὄρεξις. 2) ἡδονή.
*prō-lūcĕo, ēre, προφαίνω. Ἀμφ γρ.
prō-lūdo, si, sum, ĕre. προγυμνάζομαι.
prō-lūgĕo, ēre, καταθρηνῶ, ὑπὲρ τὸ δέον κλαίω. Φῆστος.
prō-lŭo, ŭi, ūtum, ĕre, aliquid, ἀποκλύζω, κατακλύζω, ὕδατι ἢ κλυσμῷ ἀποσπῶ τι. μετφ. καταναλίσκειν, λαφύσσειν τι. 2) ἐκκλύζω τι. ventrem, κλύζειν, λύειν τὴν κοιλίαν. 3) κλύζω, βρέχω τι. vino se proluere, οἴνῳ βρέχεσθαι, βαπτίζεσθαι, οἶνον πολὺν πίνειν.
prōlūsĭo, ōnis, θ. (proludo) προγυμνασία.
prōlūtus, a, um, ἴδ. proluo.
prōlŭvĭes, ēi, θ. (proluo) ἀπόκλυσις, κατακλυσμός. 2) ἔκκρισις.
*prōlŭvĭo, ōnis, θ. (proluo) ἀπόκλυσις.
prōlŭvĭum, ii, οὐ. (proluo) λαφυγμός, ἀσωτεία.
prōlytae, arum, ἀ. προλύται, οἱ πενταετίαν ὅλην τῶν νομικῶν μαθημάτων διακούσαντες καὶ ἀπολυθέντες.
prō-măgister, tri, ἀ. ἐν Ἐπιγρ. ὁ ἀντὶ τοῦ magister, ὅπερ ἰδέ.
prōmăgistĕrĭum, ii, θ. τιμή, ἀξία τοῦ promagister. Ἐπιγρ.
prōmăgistrātus, ūs, ἀ. διοίκησις, ἔργα τοῦ promagister. Ἐπιγρ.
prō-mātertĕra, æ, θ. ἀδελφὴ προμάμμης.
prō-mercālis, e, ὤνιος, ὠνητός.
prōmercĭum, i, οὐ. ἐμπολή, ἐμπορία. Λ. τοῦ μετγ. Λατ.
prō-mĕrĕo, ŭi, ĭtum, ēre, καὶ promereor, ĭtus sum, ēri, aliquid, ἄξιός τινός εἰμι εἴτε γίγνομαι. promerui poenam, ἄξιος τιμωρίας εἰμί. proinde ut tu meritus es, καθάπερ ἄξιος εἶ. bene

Digitized by Google

de multis promereo, πολλοῖς ἄξιος γίγνομαι, πολλοῖς πολλῶν ἀγαθῶν αἴτιος γίγνομαι, πολλοὺς εὐεργετῶ. amorem, ἄξιος ἔρωτος γίγνομαι, ἀγάπην κτῶμαι. promeritum, οὐ. ἡ ἀξία, εὐεργεσία, τὸ εὐεργέτημα. male promeritum, οὐ. ἡ κακοποιΐα, τὸ ἁμάρτημα, πλημμέλημα. 2) aliquem, προσάγομαι, ἀνακτῶμαί τινα. socios, τοὺς συμμάχους. voluntatem omnium, τὴν εὔνοιαν πάντων.

prōmĕrĭtum, ἴδ. promereo.

Prŏmēthēus, a, um, Προμήθειος.

Prŏmētheus, ĕi, καὶ ĕos, ἀ. Προμηθεύς.

Prŏmēthīdes, æ, ἀ. Προμηθείδης.

prō-mĭco, are, ἀναΐσσω, ἐξαΐσσω, ἀνατέλλω, ἀναβλαστάνω, προφαίνομαι.

prōmĭnenter, ἐπίῤ. ὀρθῶς.

prōmĭnentĭa, æ, θ. (promineo) προβολή, προοχή, ἐξοχή.

prō-mĭnĕo, ŭi, ere, προέχω, ἐξέχω. oculus prominens, ὀφθαλμὸς προπαγής. prominens, οὐ. τὸ προεχές, ἡ προοχή. 2) προκύπτω, ἀνακύπτω.

*prō-mĭno, are, aliquem, κελεύσματι ἐλαύνω τινά (κυρίως· ἐπὶ κτηνῶν).

prōmĭnŭlus, a, um, (ὑποκορ. τοῦ prominens) μικρόν τι προέχων εἴτε ἐξέχων. Λ. τοῦ μετγ. Λατ.

prōmiscam, ἐπίῤ. ταὐτὸ τῷ promiscue.

prōmisce, ἐπίῤ. ταὐτὸ τῷ promiscue.

prō-miscĕo, ere, aliquid, συμμίγνυμί τι.

prōmiscŭe, ἐπίῤ. ἐπιμίξ, ἀδιαφόρως. ἀδιακρίτως, φύρδην. 2) σύμμιγα, κοινῇ.

prōmiscus, a, um, σπάν. ἀντὶ τοῦ promiscuus.

prōmiscŭus, a, um, (promisceo) συμμιγής, σύμμικτος, ἐπίκοινος, κοινός. promiscuis copiis, παντοδαπαῖς χορηγήσεσι. promiscua connubia, ἐπίκοινοι γάμοι, ἐπιγαμία. consulatum promiscuum patribus et plebi facere, τὴν ὑπατείαν ἐπίκοινον εἴτε κοινὴν τῇ τε βουλῇ καὶ τῷ δήμῳ ποιεῖν. ἐν τῇ γραμμ. promiscuum nomen, τὸ ἐπίκοινον ὄνομα. in promiscuo, κοινῇ. 2) ἀδιάφορος, ἀδιάκριτος.

prōmissĭo, ōnis, θ. (promitto) ὑπόσχεσις, ἐπαγγελία.

prōmissīve, ἐπίῤ. ὑποσχετικῶς, ἐπαγγελτικῶς. Λ. τοῦ μετγν. Λατ.

prōmissīvus, a, um, (promitto) modus εἴτε tempus, ὁ τῆς ὑποσχέσεως χρόνος, ὁ μέλλων. Λ. Γραμματικῶν.

prōmissor, ōris, ἀ. (promitto) ὁ ὑπισχνούμενος ἢ ὑποσχόμενος.

prōmissus, a, um, ἴδ. promitto.

*prōmissus, ūs, ἀ. (promitto) ὑπόσχεσις, ἐπαγγελία.

prō-mitto, īsi, issum, ĕre, aliquid, ἀνίημι, καθίημί τι. capillum et barbam, ἀνειμένα ἐᾶν κόμην καὶ πώγωνα, κομᾶν καὶ πωγωνοτροφεῖν. sonus promittitur, ἡ φωνὴ ἐκτείνεται, μηκύνεται. venter promissus, κοιλία προπίπτουσα. 2) προπέμπω, παραπέμπω τινά. 3) ἰσχυρίζομαι, λέγω, φάσκω τι. 4) ὑπισχνοῦμαι, ἐπαγγέλλομαί τι. facit ea, quae promisit, ποιεῖ ἃ ὑπέσχετο. promitto de re, ὑπόσχεσιν ποιοῦμαι περί τινος. ei promisi dolium vini dare εἴτε me daturum esse, ὑπεσχόμην αὐτῷ πίθον οἴνου δώσειν. domum Jovi promitto, ὑπισχνοῦμαι εἴτε εὔχομαι τῷ Διὶ (ἀναθήσειν) ναόν. bene promitto, καλὰς ὑποσχέσεις ποιοῦμαι, καλὰ ἐπαγγέλλομαι. se oratorem promittit, ῥήτωρ ἔσεσθαι ὑπισχνεῖται. ad coenam alicui promitto, ὑπισχνοῦμαι δειπνήσειν παρά τινι. promittere ad fratrem, ὑπισχνεῖσθαι πρὸς τὸν ἀδελφὸν ἰέναι. promittere damni infecti, (ὑπον. causā, nomine, κ.τ.τ.) ἀναδέχεσθαι τὴν οὔπω γενομένην βλάβην. promissum, οὐ. ἡ ὑπόσχεσις, ἐπαγγελία. promissa facit, ἃ ὑπέσχετο ποιεῖ. solvere promissa, ἀποδιδόναι τὰς ὑποσχέσεις. 5) σπαν. προλέγω, σημαίνω, μαντεύομαί τι.

prōmo, mpsi, mptum, (msi, mtum) ĕre, (pro-emo) aliquid, ἐξαιρῶ, ἐκφέρω, προχειρίζομαί τι. telum e pharetra, ἐξαιρεῖν βέλος ἐκ φαρέτρας. vinum dolio, ταμιεύειν, ταμιεύεσθαι οἶνον ἐκ πίθου. senatus alicui ex aerario pecuniam promit, ἡ σύγκλητός τινι ἐκ τοῦ ταμείου ἀργύριον προχειρίζεται. vites se promunt, οἱ ἄμπελοι βλαστοὺς ἐκβάλλουσι. se promere, ἐξέρχεσθαι. 2) προφέρω, δείκνυμί τι. aliquid in medium, προφέρειν τι εἰς τὸ μέσον. sententiam suam, ἀποφαίνεσθαι τὴν γνώμην. jura clienti, ἐξηγεῖσθαι τὰ δίκαια τῷ πελάτῃ. rerum ordinem, διεξέρχεσθαι τὴν τῶν πραγμάτων τάξιν. promere vulgo epigrammata, ἐπιγράμματα εἰς τὸ φῶς ἐκφέρειν, ἐκδιδόναι, ἐκβάλλειν. — promptus εἴτε promtus, a, um, ἐπιθετικῶς· πρόδηλος, φανερός. 2) δῆλος. 3) πρόχειρος, ἕτοιμος. aliquid promtum habeo, aliquid mihi promtum est, πρόχειρον εἴτε ἕτοιμον ἔχω τι, πρόχειρόν ἐστί μοί τι. 4) πρόχειρος, πρόθυμος. ad bellum gerendum, σπαν. belli, πρόχειρος πολεμεῖν, πρόθυμος πρὸς πόλεμον. in spem, πρόχειρος, πρόθυμος εἰς ἐλπίδα. seditioni, ἀντὶ τοῦ ad seditionem, πρὸς στάσεις. promtus ingenio, linguā, manu, εὐφυής, εὔγλωττος, εὔχειρ, ἐνεργός, ἀνδρεῖος. 5) πρόχειρος, εὐχερής, ῥᾴδιος.

Digitized by Google

prō-mŏnĕo, ēre, aliquem, προμιμνήσκω, ὑπομιμνήσκω τινά.
prōmonstrum, i, οὐ. ταὐτὸ τῷ monstrum. Φῆστος.
prōmontōrĭum, i, οὐ. ἀδόκιμος γραφὴ ἀντὶ promuntŭrĭum, ὅπερ ἰδέ.
prōmōtĭo, ōnis, θ. (promoveo) προαγωγή, προβίβασις. Λ. τοῦ μετγν. Λατ.
promōtus, a, um, ἰδ. promoveo.
*prōmōtus, ūs, ἀ. (promoveo) προαγωγή, προβιβασμός.
prō-mŏvĕo, ōvi, ōtum, ēre, aliquem ἢ aliquid, προκινῶ, προάγω, προβιβάζω τινὰ ἢ τι. saxa vectibus, προκινεῖν πέτρας μοχλοῖς. exercitum in locum, προκινεῖν, προάγειν τὸ στράτευμα εἰς τόπον. imperium, προάγειν, αὐξάνειν τὴν ἐπικράτειαν. moenia, αὐξάνειν τὸν κύκλον τῆς πόλεως. aliquem in ampliorem gradum, προβιβάζειν, προάγειν τινὰ εἰς μείζονα τιμήν. pedem triclinio, προβαίνω τῷ ποδὶ ἔξω τοῦ δωματίου. nox promota, ἡ προβεβηκυῖα νύξ. 2) aliquid, ἀναβάλλομαι, ὑπερτίθεμαί τι. 3) προβιβάζω, προκόπτω, προχωρῶ. nihil promoves, οὐδὲν προβιβάζεις, οὐδὲν προκόπτεις. promoveo in studio, προκόπτω ἐν σπουδῇ τινι. 4) παρὰ τοῖς φιλοσόφοις· promota, orum, οὐ. τὰ προηγμένα, ἃ ἀδιάφορα ὄντα ἐκλεγόμεθα κατὰ προηγούμενον λόγον.
promtārĭum, i, ταὐτὸ τῷ promtuarium.
promte εἴτε prompte, ἐπίῤ. προχείρως, προθύμως, ἑτοίμως. 2) προχείρως, εὐχερῶς, ῥᾳδίως.
†promtim, ἐπίῤ. ταὐτὸ τῷ prompte.
promto εἴτε prompto, are, (θαμιστ. τοῦ promo) aliquid, προχειρίζομαι, ταμιεύω, ταμιεύομαί τι. Πλαῦτος.
promtŭārĭus, εἴτε promptŭārĭus, a, um, (promtus) ταμιευτικός. cella promptuaria, θ. εἴτε promtuarium, οὐ. τὸ ταμεῖον, ἡ ἀποθήκη.
†promtŭlus, a, um, (ὑποκορ. τοῦ promtus) πρόχειρος, ἕτοιμος.
promtus εἴτε promptus, a, um, ἰδ. promo.
promtus εἴτε promptus, ūs, ἀ. (promo) ἄχρηστον. ἐκ τούτου δ' εὔχρηστον τὸ in promtu esse, ἐν τῷ φανερῷ εἶναι, πρόδηλον, δῆλον, προφανῆ εἶναι. aliquid in promtu habere εἴτε gerere, ἐν τῷ φανερῷ ἔχειν τι, δηλοῦν, δεικνύναι τι. 2) in promtu esse, πρόχειρον, ἕτοιμον εἶναι. dico, quae mihi sunt in promtu, λέγω, ἃ πρόχειρά μοί ἐστιν, ἃ πρόχειρα ἔχω. 3) in promtu esse, πρόχειρον, εὐχερῆ, ῥᾴδιον εἶναι.
prō-mulcĕo, lsi, lsum, ēre, aliquid, ψήχω τι πρὸς τὰ ἔμπροσθεν.
prōmulcum, i, οὐ. ταὐτὸ τῷ remulcum. Φῆστος.
prōmulgātĭo, ōnis, θ. (promulgo) πρόθεσις, ἔκθεσις νόμου πρὸ τῆς κυρώσεως.
*prōmulgātor, ōris, ἀ. (promulgo) ὁ δημοσιῶν, δηλῶν τι.
prōmulgo, avi, atum, are, (ἐκ τοῦ pro καὶ vulgo, ἢ ἐκ τοῦ pro καὶ mulgo, ἐν τῇ σημασίᾳ τοῦ προσπηγνύναι) aliquid, προτίθημι, ἐκτίθημί τι. legem, νόμον πρὸ τῆς κυρώσεως. 2) δημοσιῶ, δηλῶ τι.
prōmulsĭdāre, is, καὶ promulsĭdārĭum, ii, οὐ. ὑπόθεμα, ἐν ᾧ ἐτίθεντο τὰ πρόδειπνα.
prōmulsis, ĭdis, θ. (pro-mulsum) τὰ πρόδειπνα.
promulsus, a, um, ἰδ. promulceo.
prōmuntŭrĭum, ii, οὐ. (promineo) ἀκρωτήριον, ἄκρα. 2) ἀκρώρεια.
prōmus, a, um, (promo) σπαν. ταμιευτικός. cella proma, τὸ ταμεῖον. 2) συνήθως· promus, i, ἀ. ὁ ταμίας, ταμιοῦχος. promus librorum, ὁ βιβλιοφύλαξ.
prō-mūtŭus, a, um, προδανειζόμενος, (προλαμβανόμενος ἢ προδιδόμενος).
pronāos, i, ἀ. πρόναος.
prō-năto, are, πρόσω νήχομαι. Λ. τοῦ μετγν. Λατ.
prōnatus, a, um, ἰδ. prono. 2) ταὐτὸ τῷ prognatus.
prone, ἐπίῤ. (pronus) κυπτῶς, κυφῶς.
pronius, προπετέστερον. Λ. τοῦ μετγν. Λατ.
prō-necto, ĕre, aliquid, μεταφ. μηκύνω τι.
prŏ-nĕpos, ōtis, ἀ. υἱὸς ἐγγόνου, (τρίτος ἀπόγονος), προέγγονος παρ' Ἀρμενοπούλῳ.
prōneptis, is, θ. ἡ ἀπέγγονος.
prōnis, e, σπάν. ἀντὶ τοῦ pronus.
prōnĭtas, ātis, θ. (pronus) προπέτεια, κατωφέρεια.
prōno, avi, atum, are, (pronus) aliquem ἢ aliquid, προκλίνω τινὰ ἢ τι.
prŏnoea, æ, θ. πρόνοια.
prō-nōmen, ĭnis, οὐ. ἀντωνυμία.
prōnōmĭnālis, e, (pronomen) ἀντωνυμικός.
prō-nōmĭnātĭo, ōnis, θ. ἀντωνομασία.
prōnŭba, ἰδ. pronubus.
*prō-nūbo, are, alicui, προμνῶμαι, προμνηστεύομαί τινα.
pronūbus, a, um, (pro-nubo) γαμήλιος, γαμικός. Juno Pronuba, ἡ Γαμηλία, Τελεία, Ζυγία Ἥρα. 2) pronuba, æ, θ. ἡ νυμφαγωγός, νυμφοστόλος, παράνυμφος. 3) προμνήστρια, προμνηστρίς.

Digitized by Google

pro-nŭmĕro, are, aliquid, ἀριθμῶ, ἀποδίδωμί τι. Λ. τοῦ μετγν. Λατ.
prō-nuntĭābĭlis, e, (pronuntio) ἀποφαντικός.
prōnuntĭātĭo, ōnis, θ. (pronuntio) ἀπόφανσις. 2) κήρυξις. 3) ἑρμηνεία. 4) ἀπαγγελία, ἐκφώνησις, προφορά, ὑπόκρισις (λόγου ἢ δημηγορίας).
prōnuntĭātīvus, a, um, (pronuntio) modus, ἡ ὁριστικὴ ἔγκλισις.
prōnuntĭātor, ōris, ἀ. (pronuntio) ὁ ἐκφωνῶν εἴτε ἀπαγγέλλων τι. 2) ἑρμηνεύς, κήρυξ.
prōnuntĭatum, i, οὐ. ἴδ. pronuntio.
prōnuntĭātus, ūs, ἀ. (pronuntio) προφορά, ἀπαγγελία.
prō-nuntĭo εἴτε pronuncĭo, avi, atum, are, aliquid, ἀνακηρύττω, κηρύττω, ἀναγορεύω, ἀνειπεῖν, προλέγω, προειπεῖν τι. praemia militi, ἆθλα κηρύττειν εἴτε προειπεῖν τοῖς στρατιώταις. proelium in posterum diem, προειπεῖν μάχην εἰς τὴν ὑστεραίαν. pronuntiare jubet, ut procul tela conjicerent, ἐκέλευσε προειπεῖν αὐτοῖς, πόῤῥωθεν τὰ βέλη ἀφιέναι. pronuntiavit, se coenaturum, προεῖπεν ὡς δειπνήσοι. pronuntiare victorum nomina, ἀναγορεύειν, ἀνειπεῖν, κηρύττειν τὰ τῶν νικητῶν ὀνόματα. aliquem praetorem, ἀναγορεύειν, ἀποδεικνύναι τινὰ στρατηγόν. 2) ἐξαγγέλλω, διηγοῦμαί τι. 3) προφέρω, ἀπαγγέλλω τι. multa memoriter, πολλὰ ἀπὸ μνήμης εἰπεῖν, ἀποστομίζειν. in scena pronuntiare, ἐπὶ σκηνῆς ὑποκρίνεσθαι. 4) ἐπαγγέλλομαι, ὑπισχνοῦμαι. aliquid alicui, τινί τι. 5) ἀποφαίνομαι. sententiam, ἀποφαίνεσθαι τὴν γνώμην, ποιεῖσθαι τὴν διάγνωσιν εἴτε ἀπόφασιν. de re, περί τινος. de Philodamo pronunciatur amplius, ἀποφαίνονται (οἱ κριταὶ) σκεπτέον ἔτι εἶναι περὶ τοῦ Φιλοδάμου. — pronuntiatum, οὐ. ἡ ἀπόφανσις, ἀπόφασις, τὸ ἀξίωμα.
*prō-nūper, ἐπίῤ. πρὸ οὐ πολλοῦ χρόνου, ἔναγχος.
prō-nŭrus, ūs, θ. γυνὴ ἐγγόνου.
prōnus, a, um, (pro) πρανής. pronus cado, πρανὴς εἴτε ἐπὶ τὸ στῆθος πίπτω. pronus cubitus, ἡ πρανὴς κατάκλισις, τὸ ἐπὶ τοῦ στήθους κεῖσθαι. pronus calix, ἀνατετραμμένη κύλιξ. senex pronus in baculum, γέρων προκύπτων εἴτε κύπτων εἰς τὴν βακτηρίαν. pronus in ventrem, κυρτός. ilex prona, πρῖνος, προνεύουσα. 2) πρανής, κατωφερής, καταφερής, κατάντης, ἐπικλινής. via prona, πρανής, κατωφερὴς ὁδός. amnis pronus, ποταμὸς καταφερόμενος. maria prona, εὔπλοοι θάλασσαι. campus pronus ad orientem, πεδίον ἐπικεκλιμένον πρὸς ἀνατολάς. urbs prona in paludes, πόλις ἐπικλινὴς πρὸς τὰ ἕλη. per pronum, per prona, κατὰ τοῦ πρανοῦς. sidera prona, τὰ καταφερόμενα, κατωφερῆ, κλίνοντα ἄστρα. proni menses, οἱ καταφερόμενοι, ταχέως παρερχόμενοι μῆνες. in aliquem, πρός τινα. 4) εὐχερής, ῥᾴδιος. pronum est facere, ῥᾴδιόν ἐστι ποιεῖν. 5) pronum periculum, ἔσχατος, δεινὸς κίνδυνος.
prŏoemĭor, ari, προοιμιάζομαι.
prŏoemĭum, i, οὐ. προοίμιον.
propāgātĭo, ōnis, θ. (propago) καταμόσχευσις, ἀποφυτεία. 2) ἐπαύξησις, ἔκτασις.
propāgātor, ōris, ἀ. ὁ ἐπαυξάνων. 2) ὁ μηκύνων τι.
propāges, is, θ. (propago) ἀποφυάς. μεταφ. γένος, ἀπόγονοι.
propāgĭno, are, (propago) aliquid, ἀποφυτεύω, καταμοσχεύω τι.
*propagmen, ĭnis, οὐ. (propago) ἐπαύξησις.
propāgo, avi, atum, are, (pro-pago, pango) aliquid, καταμοσχεύω, μοσχεύω, ἀποφυτεύω τι. arborem, vitem, δένδρον, ἄμπελον. 2) genus, prolem, κ.τ.τ. γένος ἐξ ἐμαυτοῦ γεννῶ, γένος εἴτε ἔκγονα καταλείπω. Brutus stirpem in quingentesimum annum propagavit, ὁ Βροῦτος παῖδας παίδων εἴτε ἐκγόνους κατέλιπεν εἰς τὸ πεντακοσιοστὸν ἔτος. μετφ. aliquid posteritati, καταλιπεῖν εἴτε παραδοῦναί τι τοῖς ἐπιγιγνομένοις. multa saecula reipublicae propagare, σώζειν τὴν πολιτείαν ἐπὶ πολλοὺς αἰῶνας. 3) ἐπαυξάνω, αὐξάνω, ἐκτείνω τι.
propāgo, ĭnis, θ. (pro-pango) μόσχευμα, ἀποφυάς. 2) μόσχος, κλάδος, κλῆμα. 3) ἔκγονος, γένος, γενεά, γόνος.
prōpălam, ἐπίῤ. ἐν τῷ φανερῷ, εἰς τὸ φανερόν. aliquid propalam fit, δῆλον εἴτε φανερὸν γίγνεταί τι.
prōpălo, avi, atum, are, (propalam) aliquid, φανερῶ, φανερὸν ποιῶ τι. Λ. τοῦ μετγ. Λατ.
prō-pando, andi, ansum καὶ assum, ĕre, aliquid, ἀναπετάννυμι, ἐκπετάννυμί τι.
prōpansus καὶ propassus, a, um, ἴδ. propando.
†prō-pător, ŏris, ἀ. προπάτωρ.
prŏ-pătrŭus, i, ἀ. ἀδελφὸς προπάππου.
prō-pătŭlus, a, um, ἀναπεπταμένος, ὕπαιθρος. in propatulo καὶ ἁπλῶς propatulo, ἐν ὑπαίθρῳ. in propatulo domus εἴτε aedium, ἐν τοῖς τῆς οἰκίας

Digitized by Google

ὑπαίθροις, ἐν τῇ αὐλῇ. 2) in propatulo, ἐν τῷ φανερῷ, ἐν τῷ κοινῷ.

prŏpĕ, ἐπίῤ. καὶ πρόθ. (ἔστι δὲ κυρίως οὐδέτερον ἐπιθέτου ἀχρήστου, τοῦ propis) ἐγγύς, ἐγγύθεν, πλησίον. intueri aliquem, ἐγγύθεν προβλέπειν τινά. hic prope, πλησίον που ἐνταῦθα. accedere prope ad aliquid, ἐγγύς τινος προσέρχεσθαι εἴτε γίγνεσθαι. prope est, ὁ χρόνος ἐγγύς ἐστι. propĭus, ἐγγύτερον, ἐγγυτέρω, πλησιαίτερον. proxĭme, ἐγγύτατα, ἐγγυτάτω, πλησιαίτατα. prope erat, ut sinistrum cornu pelleretur, τὸ ἀριστερὸν κέρας παρὰ μικρὸν ἐτράπη, παρ' ὀλίγον ἦλθε τοῦ τραπῆναι. propius nihil est factum quam ut occideretur, παρ' οὐδὲν ἦλθεν ἀναιρεθῆναι. prope funeratus arboris ictu, παρ' ὀλίγον νεκρωθεὶς τῇ τοῦ δένδρου πληγῇ. prope novo quodam genere, σχεδὸν νέῳ τινὶ γένει. prope annos nonaginta natus, ἐγγὺς ἐνενήκοντα ἔτη γεγονώς, ἐγγὺς τῶν ἐνενήκοντα ὤν. 2) proxime, πρὸ ὀλίγου, πρῴην, τελευταῖον δή· ἔσθ' ὅτε καί, μετ' ὀλίγον. 3) a re, rem καὶ alicui rei, ἐγγύς, πλησίον τινός, πρός τινι. prope a Sicilia. ἐγγὺς τῆς Σικελίας. prope oppidum, ἐγγὺς τῆς πόλεως, πρὸς τῇ πόλει. proprius mari, ἐγγύτερον τῆς θαλάσσης. res est prope metum, τὸ πρᾶγμα ἐγγὺς φόβου ἐστί. prope secessionem res venit, τὰ πράγματα ἐγγὺς στάσεως ἐγένετο. proxime morem Romanum, παραπλησιαίτατα, ὁμοιότατα τῷ Ῥωμαϊκῷ ἔθει.

prŏpĕdĭem, ἐπίῤ. (prope-diem) μετ' ὀλίγας ἡμέρας, ἐν βραχεῖ, τάχα.

prō-pello, pŭli, pulsum, ĕre, aliquid, προωθῶ τι. ventus nubes propellit, ἄνεμος προωθεῖ τὰ νέφη. navem in altum, ἀνάγειν ναῦν (εἰς τὸ πέλαγος). oves in pabulum, ἐλαύνειν πρόβατα εἰς τὴν νομήν. aliquem ad mortem, προάγειν τινὰ εἰς θάνατον. 2) ἀπωθῶ, ἐξωθῶ τινα. equites, ἐξωθεῖν ἱππεῖς. hostem a castris, ἀπωθεῖν, ἀποκρούειν πολέμιον ἀπὸ τοῦ στρατοπέδου. 3) καταβάλλω τι. muros, τείχη. 4) προΐημι, ἀφίημι, βάλλω τι. hastam, δόρυ

prŏpĕmŏdo, ἐπίῤ. Τύπος σπανιώτερος τοῦ propemodum.

prŏpĕmŏdum, ἐπίῤ. (prope-modum) σχεδόν, σχεδόν τι, παρ' ὀλίγον, παραμικρόν, ὀλίγου δεῖν.

prŏpemptĭcon, i, οὐ. (προπεμπτικὸν ποίημα).

prō-pendĕo, ndi, nsum, ēre, προκρέμαμαι, κρέμαμαι, προπίπτω. 2) ἐπιῤῥέπω, ῥέπω. 3) in aliquem, πρόθυμός τινί εἰμι, προθυμοῦμαί τινι. — propensus, a, um, προκρεμάμενος, κρεμάμενος. 2) ῥοπὴν ἔχων, βαρύς, ἐμβριθής. 3) ad aliquid, ἐπιῤῥεπής, ῥέπων, προπετής, καταφερὴς ἐπί τι. ad misericordiam, ad voluptates, ἐπὶ τὸ ἔλεος, ἐπὶ τὰς ἡδονάς. in aliquem εἴτε alicui, πρόθυμός τινι εἴτε πρός τινα. propensus animus, ἡ προθυμία.

prōpendo, ĕre, σπάν. ἀντὶ τοῦ propendeo.

prōpendŭlus, a, um, προκρεμάμενος, κρεμάμενος.

prŏpense, ἐπίῤ. (propendeo) ἐπιῤῥεπῶς, προθύμως.

*prōpensĭo, ōnis, θ. (propendeo) ἐπιῤῥέπεια, προθυμία.

prōpensus, a, um, ἴδ. propendeo

†prŏpĕrābĭlis, e, (propero) ἐπισπερχής, ταχύς.

prŏpĕranter, ἐπίῤ. (propero) ἐπισπερχῶς, ταχέως.

prŏpĕrantĭa, æ, θ. ἔπειξις, σπουδή, κατάσπευσις. Λ. σπ.

prŏpĕrātim, ἐπίῤ. ἐπισπερχῶς, κατεσπευσμένως. Λ. σπ.

prŏpĕrātĭo, ōnis, θ. (propero) ἔπειξις, κατάσπευσις.

prŏpĕrāto, ἐπίῤ. παρὰ Ταχίτῳ ταὐτὸ τῷ properatim.

prŏpĕre, ἐπίῤ. ἐπισπερχῶς, κατεσπευσμένως, ταχέως, σπουδῇ.

*prŏpĕrĭpes, ĕdis, (properus-pes) ταχύπους, ὠκύπους.

prŏpĕrĭter, ἐπίῤ. Τύπος σπανιώτερος τοῦ propere.

prŏpĕro, avi, atum, are, (properus) aliquid, κατασπεύδω, ἐπισπέρχω, σπεύδω, ἐπείγομαί τι. 2) οὐ. κατασπεύδειν, σπέρχεσθαι, ἐπείγεσθαι, σπεύδειν. Romam, εἰς τὴν Ῥώμην. abire, ἐπείγομαι, σπεύδω ἀπιέναι. properato opus est, ἐπείξεως εἴτε σπουδῆς δεῖ.

Prŏpertĭus, ii, ἀ. Προπέρτιος.

prŏpĕrus, a, um. ἐπισπερχής, σπεύδων, ἐπειγόμενος. 2) Παρὰ Ταχίτῳ, μετὰ γενικῆς· alicujus rei, ἐπειγόμενος, κατεπειγόμενος, ἐφιέμενός τινος. Εὕρηται συντασσόμενον παρὰ τῷ αὐτῷ καὶ μετ' ἀπαρεμφάτου.

prōpes, ĕdis, ἀ. (pro-pes) ὁ κάλως τοῦ ποδὸς εἴτε ποδεῶνος.

prōpexus, a, um, (pecto) εἰς τὰ πρόσω ἐκτενισμένος, καθειμένος, προκρεμάμενος. λέγεται ἐπὶ πώγωνος καὶ κόμης.

prŏphēta, æ, εἴτε prophētes, æ, ἀ. προφήτης.

†prŏphētālis, e, προφητικός.

prŏphētīa, æ, θ. προφητεία.

†prŏphētĭālis, e, προφητικός.

prŏphētĭce, ἐπίῤ. προφητικῶς.

Digitized by Google

prŏphētĭcus, a, um, προφητικός.
prŏphētis, ĭdis, θ. προφῆτις.
†prŏphētissa, æ, θ. προφῆτις.
†prŏphēto, avi, atum, are, προφητεύω.
prŏpīnātĭo, ōnis, θ. (propino) πρόποσις. Ἐν ἐπιγρ εὕρηται σημαίνουσα ἡ λέξις καὶ τὸ περίδειπνον, ἤτοι τὴν παρ' ἡμῖν μακαρίαν.
prŏpīnator, ōris, ἀ. (propino) ὁ προπίνων, προπότης. Ἀμφ. γρ.
prŏpīno, avi. atum, are, aliquid alicui, προπίνω τινί τι. salutem alicui, φιλοτησίας προπίνειν τινί. μετφ. προπίνειν, παρατιθέναι τινί τι. aliquem alicui, προπίνειν, παραδιδόναι, ἐγχειρίζειν τινά τινι. 2) ἐπὶ ἰατροῦ· propinare aliquid, προποτίζειν τι.
prŏpinque, ἐπίρ. πλησίον, ἐγγύς.
prŏpinquĭtas, ātis, θ. ἐγγύτης. propter propinquitatem, διὰ τὸ πλησίον εἶναι. 2) ἀγχιστεία.
prŏpinquo, avi. atum, are, (propinquus) πλησιάζω, ἐγγίζω, πελάζω. dies propinquat, ἡ ἡμέρα ἐγγίζει, ἐγγύς ἐστιν. alicui rei καὶ aliquam rem propinquare, πλησιάζειν, ἐγγίζειν, πελάζειν τινί, ἐγγὺς εἴτε πλησίον τινός γίγνεσθαι. 2) aliquid, ἐπισπεύδω, ταχύνω τι. Λ. ὡς τὰ πολλὰ ποιητική.
prŏpinquus, a, um, (prope) πλησίον εἴτε ἐγγὺς ὤν, πλησιόχωρος. in propinquis urbis ἢ urbi locis, ἐν τοῖς ἐγγὺς τῆς πόλεως τόποις. in propinquo esse, πλησίον εἴτε ἐγγὺς εἶναι. ex propinquo, ἐγγύθεν. propinquus reditus, ἡ ἐπάνοδος ἐγγὺς οὖσα. propinqua mors, ὁ ἐνιστάμενος θάνατος. 2) alicui, παραπλήσιος, παρόμοιός τινι. 3) ἀγχιστεύων, τῷ γένει προσήκων. propinqua cognatione alicui junctus, ὁ γένει ἐγγύς τινος, ὁ ἐγγὺς προσήκων τινί. propinqui, ἀ. οἱ ἀγχιστεῖς, ἀγχιστεύοντες, γένει προσήκοντες.
prŏpĭo, are, (prope) alicui, ἐγγίζω, πλησιάζω τινί. Λ. τοῦ μετγ. Λατ.
prŏpĭor, ĭus, γεν. iōris. (συγκρ. τοῦ ἀχρήστου propis, ἐξ οὗ τὸ ἐπίρ. prope) ἐγγύτερον εἴτε πλησιαίτερον ὤν, ἐγγίων, ἐγγύτερος, πλησιαίτερος. propiora tenere, τὰ ἐγγυτέρω κείμενα κατέχειν. propiora fluminis, τὰ ἐγγυτέρω τοῦ ποταμοῦ. propius vero, πιθανώτερον. propior funeri, τοῦ θανάτου ἐγγυτέρω ὤν. propior montem collocatus, ἐγγύτερον τοῦ ὄρους τεταγμένος. ab igne propior stetit, ἐγγυτέρω τοῦ πυρὸς ἔστη. propior epistola, ἡ νεωτέρα ἐπιστολή. Παροιμία· tunica propior pallio est, ἀνάλογος τῇ Ἑλληνικῇ· γόνυ κνήμης ἔγγιον. 2) γένει ἐγγύτερον ὤν. propior illi, γένει ἐγγυτέρω ἐκείνου ὤν, ἐγγύτερον προσήκων ἐκείνῳ. 3) φιλίᾳ ἐγγυτέρω ὤν, οἰκειότερος. ei propior cum Tiberio usus erat, οἰκειότερον ἐχρῆτο εἴτε ἐπλησίαζε τῷ Τιβερίῳ. 4) ἐγγίων, ἐγγύτερος, παραπλησιαίτερος, ὁμοιότερος. tauro, ὁμοιότερος ταύρῳ. lingua Britannicae propior, διάλεκτος τῇ Βρεταννικῇ παραπλησιαιτέρα. 5) οἰκειότερος, ἰδιαίτερος, κυριώτερος. propior cura, ἰδιαιτέρα φροντίς. propior amicus, κυριώτερος φίλος. propius exemplum, οἰκειότερον, κυριώτερον, ἐπιτηδειότερον παράδειγμα — ὑπερθ.
proxĭmus, a, um, ἐγγύτατα εἴτε ἐγγυτάτω ὤν, ἔγγιστος, ἐγγύτατος, πλησιαίτατος. proxima oppida, αἱ ἐγγύτατα πόλεις. proximus ab aliquo, alicui, aliquem, ἐγγυτάτω τινὸς ὤν. Belgae sunt proximi Germanis, οἱ Βέλγαι ἐγγύτατα τῶν Γερμανῶν εἰσιν. proximus a postremo, ὁ τοῦ ὑστάτου ἐγγύτατα. proximus hostem, ὁ τῶν πολεμίων ἐγγύτατα ὤν. in proximo, ἐγγύτατα, πλησιαίτατα. proximus, ἀ. ὁ πέλας, ὁ πλησίον, ὁ ἕτερος. 2) ἐπὶ χρόνου· ἐπιών, ἐνιστάμενος, ἐχόμενος, ὑστεραῖος. annus proximus, τὸ ἐπιὸν ἔτος, τὸ ἑξῆς ἔτος. proxima aestas, τὸ ἐπιὸν θέρος, τὸ πρῶτον θέρος. se proxima nocte, castra moturum, ὅτι τῇ ἐπιούσῃ νυκτὶ τὴν ἀναζυγὴν ποιήσεται. 3) παρελθών, τελευταῖος, προτεραῖος, παρῳχημένος. quid proxima nocte egeris, τί τῇ παρελθούσῃ ταύτῃ νυκτὶ ἔπραξας. proximae literae, ἡ ὑστάτη, τελευταία, νεωτάτη ἐπιστολή. proximi Censores, οἱ τελευταῖοι τιμηταί, οἳ ἔτι ἦρχον, μεθ' οὓς οὔπω ᾕρηντο ἕτεροι. proximo, ἔναγχος, νεωστί. 4) ἐγγύτατά τινος ὢν φιλίᾳ, γένει, ἡλικίᾳ, τιμῇ, κ.τ.τ. alicui proximus genere εἴτε cognatione, γένει ἐγγυτάτω τινὸς ὤν, ἐγγύτατα προσήκων τινί. proximos Jovi occupavit Pallas honores, τὰς ἐγγυτάτω τοῦ Διὸς τιμὰς ἡ Παλλὰς ἔχει. 5) alicui, παραπλησιαίτατος, ὁμοιότατός τινι. 6) πρόχειρος, πρὸ ποδῶν εἴτε ἐν ποσὶν ὤν.
prŏpĭtĭābĭlis, e, (propitio) εὐεξίλαστος, εὐδιάλλακτος.
prŏpĭtĭātĭo, ōnis, θ. (propitio) ἱλασμός, ἐξιλασμός. Λ. τοῦ μετγν. Λατ.
prŏpĭtĭātor, ōris, ἀ. (propitio) ὁ ἐξιλασκόμενος.
†prŏpĭtĭātrix, īcis, θ. (propitiator) ἡ ἐξιλασκομένη.
†prŏpĭtĭātus, ūs, ἀ. (propitio) ἐξιλασμός.
prŏpĭtĭo, avi, atum, are, aliquem, ἱλάσκομαι, ἐξιλάσκομαί τινα.

Digitized by Google

prŏpĭtĭus, a, um, (pro peto, προπετής) ἵλεως, εὐμενής, πρᾶος, aliquem propitium facere, ἵλεών τινα ποιεῖν.
prŏpĭus, ἐπίρ. ἴδ. prope.
proplasma, ătis, οὐ. πρόπλασμα.
proplastĭce, es, θ. ἡ προπλαστικὴ τέχνη.
prŏpnĭgēon (-um), i, οὐ. προπνιγεῖον, ὃ καὶ praefurnium λέγεται, μέρος τοῦ λουτροῦ.
prŏpōla, æ, ἀ. προπώλης.
prŏpŏlis, is, θ. πρόπολις.
prŏpŏma, ătis, οὐ. πρόπομα.
prō-pōno, ŏsŭi, ŏsĭtum, ĕre, aliquid, προτίθημί τι. legem, νόμον. aliquid ante oculos, τὶ πρὸ τῶν ὀφθαλμῶν. aliquid venale, προτιθέναι, ἐκτιθέναι, ἐπιδεικνύναι ὠνητόν τι. praemia alicui, προτιθέναι, ἐκτιθέναι, προειπεῖν τινι ἆθλα. poenam improbis, τιμωρίαν τοῖς κακοῖς. proposita est poena, τιμωρία πρόκειται, ἐπίκειται. recte facto laus proponitur, proposita est, τῷ κατορθώματι ἔπαινος προτίθεται, πρόκειται. proponere conditionem, συνθήκην προτιθέναι, προτείνειν. quaestionem proponere, ζήτημα προτιθέναι, προβάλλειν, εἰς τὸ μέσον προφέρειν. proponere alicui spem, καριστάναι τινὶ ἐλπίδα. metum, παριστάναι, ἐμποιεῖν τινι φόβον. propositus telis, ἐκκείμενος βέλεσι. 2) προτίθημι, προφέρω, λέγω, ἰσχυρίζομαί τι. 3) ἐκφέρω, ἐκδίδωμι, δηλῶ τι. 4) mihi propono, προτίθεμαι. facere εἴτε ut faciam. ποιεῖν. quod animo εἴτε mihi proposui, ὅπερ προὐθέμην. propositum fecit, ὃ προὔθετο ἐποίησε. propositum, οὐ. ἐνίοτε· πρόθεσις, προαίρεσις. 5) mihi propono, προτίθεμαι, ὑποτίθεμαι. propositum, οὐ. πρόθεσις, ὑπόθεσις, τὸ προκείμενον. a proposito declinare, ἀπὸ τοῦ προτεθέντος εἴτε ὑποτεθέντος λόγου πλανᾶσθαι. 6) propositum, οὐ. συλλογισμοῦ πρότασις.
Prŏpontis, ĭdis καὶ ĭdos, θ. Προποντίς.
prŏporro, ἐπίρ. πορρωτέρω, πόρρω. 2) παντελῶς. Λουκρήτιος.
prŏportĭo, ōnis, θ. ἀναλογία, τὸ ἀνάλογον. proportione, ex proportione, pro proportione, κατ' ἀναλογίαν, κατὰ τὴν ἀναλογίαν, ἀναλόγως.
prŏportĭōnālis, e, (proportio) ἀναλογικός. Λ. τοῦ μετγν. Λατ. ὡς καὶ ἡ ἑξῆς.
prŏportĭōnātus, a, um, ἀναλογικός, ἀνάλογος.
prŏpŏsĭtĭo, ōnis, θ. (propono) παράστασις, ἔννοια, φαντασία. 2) πρόθεσις, προαίρεσις. 3) θέμα, θέσις, ὑπόθεσις, γνώμη, ἀξίωμα. 4) πρότασις συλλογισμοῦ.
prŏpŏsĭtus, a, um, ἴδ. propono.
prōpraetor, ōris, ἀ. ἀντιστράτηγος, ἐξαπέλεκυς ἔπαρχος, ἔπαρχος στρατηγικῆς ἐξουσίας.
prŏprĭātim, ἐπίρ Τύπος μεταγενέστερος τοῦ proprie.
prŏprĭe, ἐπίρ. ἰδίᾳ (οὐ κοινῇ). 2) ἰδίᾳ, ἰδίως, κυρίως, κατ' ἐξοχήν. 3) ἰδίως, κυρίως, κυριολεκτικῶς. proprie dicere, κυριολογεῖν, κυριολεκτεῖν. proprie dicti Illyrii, οἱ κυρίως καλούμενοι Ἰλλυριοί.
prŏprĭĕtārĭus, a, um, (proprietas) ἴδιος, ἰδιόκτητος. 2) proprietarius, ἀ. ὁ ἰδίᾳ κεκτημένος τι. Λ. τοῦ μετγν. Λατ.
prŏprĭĕtas, ātis, θ. (proprius) ἰδιότης, ἰδίωμα. 2) ἰδία κτῆσις, κτῆσις, τὸ ἰδιόκτητον, κτῆμα. 3) κυριολογία, κυριολεξία.
prŏprĭo, avi, atum, are, (proprius) aliquid, ἰδιοποιῶ.
*prŏprĭtim, ἐπίρ. ταὐτὸ τῷ proprie.
prŏprĭus, a, um, ἴδιος, οἰκεῖος, (οὐ κοινός). vitium proprium senectutis, κακία ἰδία τοῦ γήρως. propria domus, ἰδία, οἰκεία οἰκία. hominis est propria veri investigatio, τοῦ ἀνθρώπου ἰδία ἐστὶν ἡ τοῦ ἀληθοῦς ἔρευνα. proprium facere aliquid, οἰκειοῦσθαί τι. est oratoris proprium, ἴδιον εἴτε ἰδιότης τοῦ ῥήτορός ἐστι. de proprio vivere, ἀπὸ τῶν ἰδίων, ἀπὸ τῶν οἰκείων χρημάτων, ἀπὸ τῆς οὐσίας ζῆν. propria familia, οἱ ἴδιοι οἰκέται. proprii quidam sonitus, ἴδιοί τινες ἦχοι. 2) ἴδιος, κύριος, ἐπιτήδειος. remedia propria, τὰ ἴδια, κύρια ἰάματα. 3) κύριος, μόνιμος. 4) κύριος, βέβαιος.—Ὁ συγκρ. proprior παρὰ Σενέκᾳ τῷ ῥήτορι, ὁ δὲ ὑπερθετ. propriissimus παρὰ Βοηθίῳ εὕρηται.
propter, ἐπίρ. (ἐκ τοῦ prope, ἀντὶ propiter) ἐγγύς, πλησίον.
